κοσμῶν θρόνον καὶ τὸν εὐαγγελικὸν ἀναβαίνων ὀκρίβαντα, ὁ Βασιλάκης Νικηφόρος τὰς τοῦ Παύλου ἀναπτύσσων ἐπ' ἐκκλησίας ἐπιστολὰς καὶ διαλευκαίνων τῷ τῆς καλλιρρημοσύνης φωτὶ ὅσαι τῶν ἀποστολικῶν ῥήσεων τῇ ἀσαφείᾳ ὑπομελαίνονται καὶ τῷ βάθει τοῦ πνεύματος ἐπιφρίσσουσι. λέγεται δὲ ὡς τοῦ δόγματος τούτου ὑποκινουμένου καὶ εἰς κοινὴν ἐπικρινομένου προτεθῆναι βάσανον, ἐξώρως ἐκραγῆναι βροντὴν ἐξαισίαν, ὑφ' D ἧς καὶ περικτυπηθῆναι τὰς ἀκοὰς τὸ συνὸν ἅπαν τῷ βασιλεῖ κατὰ Πελαγονίαν διατρίβοντι τότε, ὡς ἀπὸ τοῦ κτύπου πολ- V. 113 λοὺς εἰς γῆν καταπίπτειν· καί τινα τῶν λόγου τροφίμων, Ἠλίαν τοὔνομα, τὴν τύχην ὑπὲρ τοὺς πολλούς, τοῦ στρατοῦ φύλακα, βίβλον ἀναπτύξαντα περὶ βροντῶν καὶ σεισμῶν διεξιοῦσαν, καὶ τὰ περὶ τὸν καιρὸν ἐκεῖνον καθ' ὃν ἐβρόντησεν ἐπελθόντα, φάσκοντα εὑρεῖν οὕτωσὶ „πτῶσις σοφῶν." οὐ μόνον τοίνυν οἱ ῥηθέντες ἄνδρες, τῶν τηνικαῦτα σοφῶν ὄντες οἱ κράτιστοι, τῆς ἐκκλησίας ἀπεσφενδονήθησαν καὶ πάσης ἱερᾶς ὑπηρεσίας ἐξωστρακίσθησαν, ἀλλὰ σὺν αὐτοῖς καὶ ἕτεροι τῶν ἱερῶν καὶ θείων περιβόλων ἀποσηκασθέντες ἠλάθησαν. μετὰ χρόνους δέ τινας τὴν „ὁ πατήρ μου μείζων μού ἐστι" τοῦ θεανθρώπου φωνὴν προθεὶς εἰς ἐξέτασιν, ὀλίγα P. 138 ταῖς τῶν πατέρων προσοχὼν ἐξηγήσεσι, καὶ ταῦτα διαφόροις οὔσαις καὶ ἱκαναῖς πρὸς τὴν τοῦ ζητουμένου παράστασιν καὶ σαφήνειαν, ἐφερμηνεύσεις οἰκείας εἰσήνεγκε, φιλονείκως τῶν ἅπαξ δοξάντων περιεχόμενος, καὶ πρὸς τὸ οἰκεῖον ἀνθέλκων

9. ὡς — καταπίπτειν om A. 10. λέγω A. 18. ἱερῶν καὶ om A. 24. δοξάντων] δεδογμένων A.

nus Eustathius, Michael Thessalonicensis concionator, Nicephorus Basilaces, qui Paulinas epistolas interpretabatur et lumine eloquentiae Apostolicorum scriptorum obscuritatem altissimo spiritu refertam illustrabat. ferunt, cum haec controversia agitaretur et publice disceptanda proponeretur, alieno anni tempore ingens erupisse tonitru, et auribus eorum omnium qui tum Pelagoniae cum imperatore erant ita insonuisse ut nonnulli humi prolaberentur. et Eliam quendam hominem eruditum et celebrem, aperto libro qui de tonitribus et terraemotibus dissereret, et iis lectis quae ad tempus illud pertinerent, scriptum invenisse „casus sapientum." itaque non ii modo quos diximus, doctorum eruditissimi, ecclesiis pulsi et omnibus sacris ministeriis interdicti sunt, sed alii quoque una cum illis. aliquot annis post quaestione de dei hominis dicto „pater maior est me" proposita, parum curatis patrum explicationibus, iisque variis et ad controversiae explicationem et declarationem sufficientibus, suas interpretationes attulit, easque pertinaciter defendit; et ad suam vo-

βούλημα, καὶ ὃ κυρώσειν προέθετο, τὰς μηδὲν τῇ ἀληθείᾳ λυμαινομένας ἀλλὰ θεοσόφως λεχθείσας ῥήσεις τῶν μακαρίων διδασκάλων τῆς οἰκουμένης. τῶν μὲν γὰρ λεγόντων τῷ αἰτίῳ εἰρῆσθαι μείζονα, τῶν δὲ κατὰ τὸ ἀνθρώπινον ἐξειλη-
5φότων καὶ τῷ προσλήμματι, οὐ τῷ λόγῳ τὴν φωνὴν ταύτην ἀπονειμαμένων, ὥσπερ καὶ τὸ πρὸς τὸν πατέρα πορεύεσθαι καὶ τὸ ἔρχεσθαι τοῦ κόσμου τὸν ἄρχοντα καὶ ἐρευνῶντα μηδὲν ὅλως εὑρίσκειν ἐν αὐτῷ, τινῶν δὲ περὶ τοῦ λόγου τὸ μεῖζον ἐκλαβομένων, οὐχ ἁπλῶς δὲ καὶ κατ' οὐσίαν ἀλλὰ διὰ B
10τὴν ἐν τῷ ἐνανθρωπῆσαι ἄκραν κένωσιν καὶ ταπείνωσιν, καὶ ἄλλων ἄλλως εὐσεβῶς μέντοι ἐκδεξαμένων, ταύτας οὐκ οἶδ' ὅπως ἀποστέρξας ὡς οὐχ ἱκανῶς περὶ τοῦ προκειμένου εἰπούσας, καὶ ἑτέρως αὐτὸ διήρμηνευεν. ἀμέλει καὶ σύνοδον συγκροτήσας καὶ ἅπαν ὅσον τοῖς θείοις ἔχαιρε δόγμασι συν-
15αθροίσας, ἐνῆγεν ἕκαστον ἐν τόμῳ δογματικῷ ὑπογράφειν ὁρίζοντας οὕτωσί „ἀποδέχομαι μὲν καὶ τὰς περὶ τοῦ ὁ πατήρ μου μείζων μού ἐστι τῶν θεοφόρων πατέρων φωνάς, λέγω δὲ εἰρῆσθαι τοῦτο καὶ κατὰ τὴν ἐν αὐτῷ κτίστην καὶ παθητὴν σάρκα." τοῦτο δὲ οὐκ οἶδ' ὅπως τὸ ἔλατ-
20τον πρὸς τὸν πατέρα τῷ υἱῷ σαρκοφορήσαντι περιτίθησιν, C
ὡς εἴπερ ἀπωλίσθησε τῆς ἰσότητος διὰ τὴν τῆς ἀνθρωπίνης φύσεως πρόσληψιν καὶ τὴν πρὸς ἡμᾶς ἐπιδημίαν, μὴ τὴν ἰδίαν καὶ οὕτως ἀνασώζων δόξαν, τοῖς δὲ τῆς κενώσεως μέτροις ἐναπομείνας, ἢ μὴ θεώσας καὶ ὑψώσας τὸ τα-

10. κένωσιν] ἔνωσιν A. 21. ἰσοτομίας B. an ἰσοτιμίας?

lantatem et sententiam universallum doctorum sententias, non modo veritati non adversantes sed divinitus editas, accommodavit. nam cum alii dicant patrem ut filii auctorem dici maiorem, alii de natura humana id intelligant, et id dictum non verbo sed assumptae carni attribuant, ut et illa de profectione ad patrem, de adventu Principis mundi, qui nihil in ipso inveniat; alii, etsi de verbo vocem *maior* accipiant, non absolute tamen et essentialiter, sed ob inhumanationis summam extenuationem et humilitatem; atque alii aliter, pie tamen, explicent: iis, nescio quomodo, ut propositae quaestioni non satisfacientibus improbatis, aliam attulit interpretationem, indictoque concilio et omnibus sacrarum litterarum studiosis convocatis singulos hortatus est ut ei decreto hoc modo subscriberent: „equidem etiam S. patrum voces de illo dicto *pater maior est me* amplector: aio tamen id dictum pertinere ad carnem in eo conditam et passibilem." quod nescio quomodo filio incarnato minus tribuit quam patri, perinde ac si ob naturae humanae assumptionem et peregrinationem in terram pari dignitate excidisset, ac suam au-

πεινὸν καὶ τῶν οἰκείων αὐχημάτων μέτοχον ἀναδείξας ἐξ αὐτῆς τῆς ἑνώσεως, ἀλλ' ὑπ' αὐτοῦ τουναντίον ταπεινωθείς, ὅπερ ἄτοπον. ἀμέλει καὶ γραφαῖς ἐρυθραῖς ὡς φλογίνῃ ῥομφαίᾳ τὸ δόγμα τοῦτο διειληφώς, ἀπειλούσαις θάνατον καὶ ἀποκήρυξιν πίστεως τῷ προσεμβλέψαι ὕλως ἔνδον τολμήσαντι καὶ κατὰ πρώτην τοῦ νοῦ κίνησιν, πολλῷ δέω εἰπεῖν ἐπιλαβομένῳ καὶ ὑποτονθορύσαντι, ἔπειτα καὶ λιθίναις πλαξὶν ἐγχαράξας ὑποθήκαις τινῶν τῶν ἑπακολουθούντων αὐτῷ καὶ κολακευόντων ἐπὶ νεὼ τοῦ μεγίστου ἀνέθετο. ὑφωρῶντο γὰρ τὴν τῶν κυρωθέντων ἀνάλυσιν ὡς εἰς αὐτὸν τὸν λόγον διὰ μέσης τῆς σαρκὸς ἀποφερόντων τὸ ἔλαττον, καὶ μάλισθ' ὅτι τὴν κένωσιν καὶ τὸ κατὰ τὸ ἀνθρώπινον νοούμενον παρεβλέψαντο.

6. Οἷον δὲ καὶ τόδ' ἔρεξεν ἀνὴρ οὗτοσὶ περὶ τὸ πέρας τῆς αὐτοῦ βιοτῆς. ἔγκειται τῷ κατηχητικῷ πυκτίῳ μεθ' ἑτέρων ἀφορισμῶν καὶ τὸ ἀνάθεμα τῷ θεῷ τοῦ Μωάμετ, περὶ οὗ λέγει „οὔτε ἐγέννησεν οὔτε ἐγεννήθη," καὶ ὅτι ὁλόσφυρός ἐστι. τὸν τοιοῦτον τοίνυν ἀναθεματισμὸν ἀπαλεῖψαι τῶν ὅλων κατηχητηρίων βίβλων προέθετο, ἀπ' αὐτῆς τῆς ἐν τῇ μεγάλῃ ἐκ-
P. 139 κλησίᾳ πυκτίδος ἀρξάμενος. καὶ ἡ πρόφασις ὡς μάλα εὐπρόσ-
V. 114 ωπος· ἔφασκε γὰρ ὡς εἰς σκάνδαλον πρόκειται τῶν μεταθεμένων Ἀγαρηνῶν εἰς τὴν καθ' ἡμᾶς θεοσεβῆ πίστιν τὸ

8. τῶν — κολακευόντων om A. 15. τῷ κατηχ.] ἐν τῷ κατηχητικῷ τόμῳ τῆς ἁγίας τοῦ θεοῦ ἐκκλησίας B, τῷ κατηχητηρίῳ π. A.

ctoritatem amisisset, et intra limites extenuationis constitisset, ac non deificasset et extulisset humilia, et sua gloria per unionem illam ornasset potius quam ea re ipse depressus esset. quod absurdum est. atque etiam rubra scriptura tanquam ense flammeo decretum hoc munivit, quo mortem minitabatur et excommunicationem ei qui, non dico prima impulsione animi reprehendere et submurmurare, sed tantum introspicere ausus esset. deinde idem decretum de quorundam assensorum vel assentatorum potius consilio lapideis tabulis insculptum in maximo templo dedicavit. verebantur enim ne sanctio illa, ut quae praetextu carnis ipsi verbo derogaret, abrogaretur, praesertim cum extenuationem et humanitatis rationem praeteriissent.

6. Eiusdem generis illud etiam est quod Manuel sub vitae finem fecit. extat inter caeteras catecheticae tabulae sanctiones anathema in Machometi deum, quem nec genuisse nec genitum sed holosphyron esse affirmat. id anathema ex omnibus catecheticis libellis aboleri voluit ab ipsa magnae ecclesiae tabula auspicatus, idque ratione probabili scilicet. aiebat enim blasphemiis in deum qualibus-

βλασφημεῖσθαι ὅλως θεόν. οὐκοῦν μετάκλητον τίθησι τὸν μέγιστον Θεοδόσιον, ὃς διεῖπε τηνικαῦτα καὶ ἐκόσμει θρόνον τὸν πρώτιστον, καὶ τῶν κατὰ τὴν πόλιν ἐνδημούντων ἀρχιερέων τοὺς λόγῳ καὶ ἀρετῇ διαπρέποντας, καὶ κοινοῦται τούτοις τὸ σκέμμα μετ' ὀγκηρῶν προεισοδίων τῆς ὑποθέσεως. ἀναπεύοντας δὲ πάντας εὑρὼν καὶ μηδ' ἄκροις παραδεχομένους ὡσὶ τὰ εἰσηγούμενα ὡς ἀπόφημα καὶ τῆς εἰς θεὸν ἀληθεστάτης δόξης ἀπάγοντα, ἐξηγουμένους δὲ θεοφιλῶς τὸ εἰς σκάνδαλον δῆθεν καὶ πρόσκομμα κείμενον, καὶ διασαφοῦντας μὴ ὅλως θεὸν οὐρανοῦ καὶ γῆς ποιητὴν καθυποβάλλεσθαι ἀναθέματι ἀλλὰ τὸν παρὰ τῷ λήρῳ καὶ δαιμονιώδει Μωάμετ ἀναπλαττόμενον ὁλόσφυρον θεὸν καὶ μήτε γεννηθέντα μήτε γεννήσαντα (παρὰ Χριστιανοῖς μὲν γὰρ δοξάζεσθαι πατέρα θεόν, αὐτὰ δὲ τὰ ἀπόβλητα τοῦ Μωάμετ ληρήματα τοῦτο ἀπαγορεύειν ὅλως· καὶ ἄλλως δὲ μὴ συνιέναι ἀκριβῶς ὁποῖόν τί ἐστι τὸ ὁλόσφυρον), αὐτοὺς μὲν φθινύθειν εἴασεν ἐν στήθεσιν ἔχων νόον ἀκήλητον, καθ' ἑαυτὸν δ' ἐκτίθησι τόμον, ὑπουργοῖς εἰς τοῦτο χρησάμενος οὓς ἤδει τῶν ἐκ τῆς βασιλείου αὐλῆς τὸν καιρὸν κολακεύοντας καὶ λόγου μετέχοντας, ὑπερηγοροῦντα μὲν τῆς τοῦ Μωάμετ μωρολογίας (οὐ γὰρ ἂν εἴποιμι θεολογίας), καθαπτόμενον δὲ λαμπρῶς τῶν πρότερον βασιλέων καὶ τῶν ἐκ τοῦ καταλόγου τοῦ ἱεροῦ ὡς ἀμαθῶς καὶ ἀπερισκέπτως ἀνεχομένων ὑπὸ ἀνάθεμα τίθεσθαι θεὸν τὸν ἀληθινόν. καὶ τοῦτον εἰς κοινὴν ἀκρόασιν ἐπὶ τῶν ἱερῶν ἀρχείων ἐκδίδωσι,

B

C

21. προτέρων A.

cunque offendi Agarenos, qui ad piam nostram religionem deficerent. proinde maximo Theodosio accersito, qui principem sedem curabat atque ornabat, et primariis sacerdotibus, qui tum in urbe erant eloquentia et virtute praestantes, quaestionem cum tumido exordio proponit. qui cum omnes refragarentur, nec ullo modo illa admitterent ut absurda et a vera de deo sententia abducentia, atque anathema illud offensionis plenum pie explicarent (nec enim deum caeli et terrae conditorem ullo modo anathemate notari, sed holosphyrum illum deum, quem delirus et furiosus Machometus nec genitum nec gignentem confingeret: nam apud Christianos deum patrem celebrari, quod detestandis Machometi nugamentis plane prohibeatur. deinde se non satis intelligere quid sit illud holosphyrum), eis animo nihil mitigato contemptis, suapte auctoritate, et aulicorum conditorum, quos tempori servire norat, ministerio, decretum proponit, quo et Machometi delirium (cur enim theologiam dicam?) defendebatur et superiores imperatores sacrorumque antistites aperte taxabantur, qui deum verum inerudite et inconsiderate anathemate

συνεκπεπομφὼς οἷον τοῦ τόμου προοδευτὰς καὶ νεολαίαν κροτοῦσαν τὰ γεγραμμένα ὅσοι τῆς συγκλήτου βουλῆς καὶ τῆς γερουσίας ἦσαν κεφάλαιον, καὶ τοὺς ἐκ γένους ἐκείνῳ λογιότητι χαίροντας. τοσοῦτον δὲ τὸ πιθανὸν ὁ λόγος ἐπλούτει, οὐκ ἐν διδακτοῖς πνεύματος βρίθων ῥήμασιν ἀλλ' ἐν πειθοῖ σοφίας ἀνθρωπίνης κομῶν, ὡς μικροῦ δεῖν ἀπαιωρῆσαι τῶν ὤτων μὴ μόνον ὅσον ἀφεώρα πρὸς τὴν ποικίλην τούτου περιβολὴν καὶ τὸ ἐπίχαρι τοῦ πτερώματος, ἀλλὰ καὶ αὐτὸ τὸ μεταλλεῦον τῶν γεγραμμένων τὸν νοῦν. καὶ τάχ' ἂν ἦν ὡς ἀληθὴς θεὸς δοξαζόμενος ὁ παρὰ τῷ Μωάμετ ὁστισοῦν κληρούμενος ὁλόσφυρος θεός, εἰ μὴ ὁλοσχερῶς ὁ πατριάρχης ἀντέβη· οὔτε γὰρ οὗτος τοῖς γραφομένοις τὸν νοῦν προσέσχηκεν ὡς ἐπισφαλῆ καὶ νέα ἐπεισάγουσι δόγματα, καὶ τοὺς λοιποὺς δὲ ὡς δηλητηριώδη ταῦτα ὑφορᾶσθαι παρέπειθεν. ὁ δὲ ὥσπερ τι δεινὸν πεποιθὼς ὀνείδεσιν ἔπλυνε τοὺς ἀρχιερεῖς, καὶ μωρὰ τοῦ κόσμου τούτους ὠνόμαζεν, ἄλλως τε καὶ νόσῳ τότε προσπαλαίων δεινῇ, ὑφ' ἧς καὶ τὸν βίον ἀπέλιπε, καὶ ἐπίχολος ἐντεῦθεν γινόμενος. οὐκοῦν ὅσα τῷ προτέρῳ τόμῳ ἐμπλατυνόμενος εἴρηκεν, ἀπηρτισμένῃ κατασκευῇ καὶ μεθόδοις ῥητορικαῖς χρησάμενος, ταῦτα ἐπιτεμὼν καὶ τὸ τοῦ δόγματος
P. 140 αὐθις περιθεὶς δέλεαρ ἕτερον τόμον ἐξέθετο. καὶ ἐπεὶ ἔτυχε τότε τοῖς κατὰ Δάμαλιν ἀρχείοις ἐναυλιζόμενος, ἃ Σκουτάριον ὀνομάζονται, τὴν τοῦ ἀέρος εὐκρασίαν μεταδιώκων

8. τὸ ante μεταλλ. vulgo deest. 10. ἀληθῶς A. 21. ἔτυχε add A. 22. ἐναυλιζόμενος om A.

notari passi essent. et id decretum in sacro palatio publice recitandum curat, principibus senatus et cognatis suis litterarum studiosis qui veluti viam praepararent atque applauderent, praemissis. erat autem oratio adeo probabilis, non spiritualium verborum gravitate sed humanae sapientiae suavitate, ut aures non eorum duntaxat quae variam eius compositionem et iucundam vanitatem spectabant, sed eorum etiam qui ipsius scripti sententiam indagabant, propemodum suspensas teneret. ac forsitan veri dei gloria Machometano illi deo, quisquis est, nisi patriarcha strenue adversatus nec ipse id scriptum curasset, quo nova et periculosa dogmata introducerentur, et caeteros, ut id tanquam venenum suspectum haberent, monuisset. at imperator, quasi gravi affectus iniuria, pontifices conviciis insectabatur et homines omnium mortalium stultissimos appellabat, quippe ex morbo gravissimo, qui exitium ei attulit, pronior ad iram factus proinde iis quae priore decreto fusius, oratoriis ornamentis adhibitis, scripserat, in compendium redactis et dogmatis illecebris adornatis, aliud decretum promulgavit. cum autem tum in palatio ad

καὶ τῆς πολυοχλίας ἀπανιστάμενος καὶ ἅπας τῆς νοσοκομίας γινόμενος, διαπλωΐζονται ἐκεῖσε βασιλικῷ ἐπιτάγματι ὅ τε τῶν ἀρχιερέων σύλλογος καὶ ὅσοι τὸ πρεσβεῖον ἐκ τῶν λόγων ἐκτήσαντο. ἀλλ' οὔπω καθαρῶς τῶν λεμβαδίων ἀπέβησαν, καί τις τῶν παρὰ τῷ βασιλεῖ παρρησίαν ἐχόντων καὶ τὰ μέγιστα δυναμένων ὑπογραμματέων ἐφίσταται. ὁ Ματζούκης ἦν οὗτος Θεόδωρος, καὶ πρός τε τὸν πατριάρχην καὶ τὴν τῶν ἀρχιερέων ὁμήγυριν τὸν λόγον ἀποτεινάμενος τὴν μὲν ἐς τὸν βασιλέα πάροδον μὴ εἶναι ἔφησε νυνὶ ἐφικτὴν διά τι παρεισφρῆσαν ἐκ τῆς νόσου ἐμπόδιον, τῇ δὲ τούτων ἀναγνώσει προσέχειν χρεών, τοὺς χάρτας δείξας αὐτοῖς τοὺς ἐν χερσίν. ἦν δὲ ὁ μὲν περὶ τοῦ προκειμένου δόγματος διαλαμβάνων, ὅν, ὡς εἰρήκαμεν, ὑπογράψαι τοὺς συνελθόντας ἀρχιερεῖς διὰ σπουδῆς ὁ αὐτοκράτωρ ἐτίθετο· ὁ δ' ἕτερος τὸν βασιλέα ἔχων διαλεγόμενον τῷ ἀρχιποίμενί τε Θεοδοσίῳ καὶ τῇ συνόδῳ οὐδὲν μέτριον οὐδὲ χάριεν διεξῄει, ἀλλὰ καὶ τῇ ἐνστάσει τοῦ πατριάρχου καὶ τῶν σὺν αὐτῷ ἀρχιερέων ὡς μὴ κατὰ λόγον γενομένῃ ἐπιμεμφόμενος διηπειλεῖτο μείζονος σύνοδον συγκρότησιν, καὶ τὴν μετ' αὐτοῦ τοῦ πάπα τῆς πρεσβυτέρας Ῥώμης τῶν προκειμένων ἐπώμνυτο διάσκεψιν. „ἀγνώμων γὰρ ἂν εἴην" ἔλεγε „καὶ ἀλόγιστος, εἰ μὴ πολλοστὸν ἀντιδοίην μέρος τῷ ἐμῷ βασιλευτῇ καὶ βασιλεῖ τῶν ὅλων θεῷ, ὧν ἐκεῖθεν κρειττόνως ἔσχηκα, πᾶσαν σπουδὴν εἰσενεγκών ὥστε μὴ τοῦτον ἀναθέματι καθυποβάλλεσθαι ἀληθινὸν ὄντα θεόν." τοσοῦτον δὲ τοῦ διαθρηθῆναι τοῖς τοιούτοις ἀπεῖ-

B V. 115 C

5. τὰ] τῶν vulgo. 6. ματζουκάχης A. 15. Θεοδοσίῳ om A. 25. τοῖς τοιούτοις om A.

Damalim, quod Scutarium dicitur, tum ad vitandam turbam tum ob aëris temperiem versaretur, totus curandae valetudini intentus, lusu eius pontificum collegium et eruditissimi quique eo traiiciunt. qui cum vix ex lintribus descendissent, Theodorus Mazuca, homo apud imperatorem gratiosus et inter scribas auctoritate princeps, adest; et oratione ad patriarcham et pontificum collegium instituta imperatorem nunc adiri posse negat ob morbi quandam accessionem, litteras vero quas manu teneret, esse audiendas. agebant autem alterae de proposito dogmate, quibus a pontificibus subscribi cupiebat imperator; alterae sub persona eiusdem cum summo pastore Theodosio et pontificibus ob praeposteram adversationem expostulantes, maius concilium minabantur, et controversiae disceptationem ipso veteris Romae papa adhibito iureiurando testificabantur. „iugratus" inquit „universitatis rerum deo, a quo praeter imperii fastigium aliis illustribus praerogativis sum ornatus, et insanus essem, nisi pro te-

χον οἱ ἀκροώμενοι κομπάσμασιν, ὥστε καὶ ὁ τῆς Θεσσαλονίκης πρόεδρος, ὁ πολὺς καὶ μέγας ἐν λόγοις Εὐστάθιος, ζήλου ἐπὶ τοῖς ἀνεγνωσμένοις πλησθεὶς καὶ μὴ ἐνεγκὼν θεὸν ἀληθινὸν δοξάζεσθαι ὁλόσφυρόν τι διανοίας ἀνάπλασμα κακοδαίμονος, „ἐσοίμην ἂν" ἔφη „καταπεπατημένον τοῖς πτέρναις φορῶν τὸν ἐγκέφαλον, καὶ τοῦ σχήματος τούτου παράπαν ἀνάξιος" τὸν ἐπὶ τῶν ὤμων δείξας μανδύαν, „εἰ θεὸν ἡγοίμην ἀληθινὸν τὸν παιδεραστὴν καὶ καμηλώδη καὶ πάσης πράξεως μυσαρᾶς ὑφηγητὴν καὶ διδάσκαλον." ἐπεπήγεσαν οὖν ἐπὶ τοῖς εἰρημένοις τούτοις οἱ ἀκηκοότες μικροῦ· ἦν γὰρ καὶ διατόρως ταῦτα φθεγγόμενος καὶ προδήλως χαρακτηρίζων τὸν ζήλῳ εὐσεβείας πυρούμενον. ὁ δὲ τοῦ γράμματος ὑπαγορευτής, στὰς ἐπὶ βραχὺ ἐννεὸς καὶ τὰ χείλη μύσας, παλίμπους εἶτα εἰς τὸν αὐτοκράτορα εἴσεισι. καὶ ὃς τὰ λαληθέντα ἐνωτισάμενος, οἷον περιψοφηθείς, ποικίλος ἦν τὸν ἀπόλογον, τὸ μακρόθυμον ἐπῃνεκὼς ὡς οὐδέποτε. καὶ ἑαυτὸν γὰρ τοῖς ἄγαν ὀρθοδοξοῦσι Χριστιανοῖς ἐνέταττε, καὶ πατέρων ὡμολόγει πανευσεβῶν προελθεῖν, τοὺς φιλαιτίους ἐκκλίνων καὶ φιλοσκώμμονας. καὶ τὴν μετὰ τοῦ Θεσσαλονίκης κρίσιν πολὺς ἐνέκειτο ἐξαιτούμενος· ἢ γάρ, φησί, δικαιωθεὶς ὡς
P. 141 μὴ θεῷ πιστεύων παιδεραστῇ μηδὲ εἰσάγων παραχάραγμα πί-

1. κομπάσμασιν] ἀπειλήμασιν A. 4. δοξάζεσθαι] ὀνομάζεσθαι A. 8. τὸν παιδεραστὴν] τὸν παρὰ τοῦ λαοπλάνου ἀρσενοκοίτου B. 13. στὰς — μύσας] ἐκπλαγεὶς A. 21. παιδεραστῇ] ἀρσενοκοίτῃ B.

nultate mea qualecunque illi studium meum declararem, et summi in id viribus incumberem, ne is verus deus anathemate notaretur caeterum auditores ea magniloquentia adeo non percellebantur, vir doctissimus et eloquentissimus, Eustathius Thessalonicae arch piscopus, ea oratione vehementer commotus, verum deum ali holosphyrum, infelicis ingenii commentum, perhiberi nullo m ferret. „enimvero" inquit „insanirem et hoc habitu" ostenso p „indignus essem, si deum verum iudicarem brutum illum diconem et omnis obscoenitatis et sceleris doctorem." quae clara voce et magno verae pietatis affectu dixisset, auditores ne obstupuerunt. scripti vero illius recitator, paulisper velut tonitus, compressis labiis astitit, deinde ad imperatorem re sus est; qui ea oratione perturbatus varia defensione usus et patientia, ut nunquam antea, laudata, ut querulos et latores vitaret, se quoque integerrimis Christianis annumeraba religiosissimis natum esse parentibus asserebat, et contra The nicensem iudicium vehementer efflagitabat. aut enim, si abso tur ut qui deo paediconi non crederet, nec de religione per

στεως δικαίαν ἐπιθήσει δίκην τῷ κατὰ Χριστοῦ κυρίου ἐρυγγάνοντι βλάσφημα, ἢ κατακριθεὶς ὡς ἕτερον δυξάζων θεὸν παρ' ὃν οἱ ἐκ Χριστοῦ καλούμενοι σέβονται μεταμαθήσεται τὴν ἀλήθειαν, καὶ χάριν εἴσεται οὐ μικρὰν τῷ τῆς χείρονος αὐτὸν μεταστήσαντι δόξης καὶ μυήσαντι τὴν ἀλήθειαν. μετὰ βραχὺ δὲ τοῦ πατριάρχου εἰς θέαν ἐκείνῳ ἐληλυθότος καὶ κατεπάσαντος τὰ εἰκότα τοῦ τε θυμοῦ ἔληξε, καὶ τῷ Εὐσταθίῳ συγγνώμην παρέσχετο ἐφ' οἷς παρεφθέγξατο, ἐνδεδωκὼς αὐτῷ ὅσα ἤρεῖτο ἀπολογήσασθαι, τελευταῖον δὲ καὶ αὐτὸς ἐπεπὼν ὡς „δεῖ σε σοφὸν ὄντα μὴ αἰσχρορρήμονα δείκνυσθαι μηδὲ θρασυστομεῖν παρακαίρια." ἐπὶ δὲ τούτοις εἰς κοινὴν δοθέντος ἀκρόασιν τοῦ περὶ τοῦ δόγματος τόμου, καὶ B πάντων ἐπαινεσάντων τὰ γεγραμμένα ὡς εὐσεβῶς ὀρθοτομηθέντα, καὶ περιχαρῶς ἐν αὐτῷ ὑπογράψαι καταθεμένων, ὁ σύλλογος διελέλυτο. καὶ οἱ μὲν ἀπῄεσαν ἀγαλλόμενοι ὡς τῇ οἰκείᾳ ἐνστάσει τὸν βασιλέα νενικηκότες· ὁ δὲ ἔχαιρεν ὡς τῇ ἑαυτοῦ καθυποκλίνας τούτους βουλῇ, καὶ σχὼν διὰ βραχυλογίας οὗπερ διὰ τοῦ πολυστίχου πρότερον τόμου οὐδαμῶς ἐφίκετο. κατὰ δὲ τὴν μετ' ἐκείνην ἡμέραν εἰς τὴν πατριαρχικὴν ἐστίαν ἡ σύνοδος ἀθροισθεῖσα, ὅπως κατὰ τὰ συμφωνηθέντα ἀράσωσιν (ἅμα γὰρ ἕῳ παρῆσαν οἱ ἐκ βασιλέως αὐτοὺς εἰς V. 116 ἓν ἀθροισμὸν συναγείροντες), οἱ δ' οὐκέτ' ἦσαν οἱ αὐτοί, ἀλλ' ἀνένευον πάντες πάλιν καὶ ἀπεπήδων ὡς τῇ ὑπηγορευμένῃ γραφῇ ἔτι ἐγκειμένων ἐπιληψίμων ῥημάτων τινῶν, καὶ C

8. παρ. οἷσπερ ἐφθέγξατο A. 16. νικήσαντες A. 20. κατὰ συμφωνοῦντα A. 23. ὑπαγορευθείσῃ γραφῇ καὶ ἔτι A.

sentiret, se iustas poenas de eo sumpturum, qui contumeliosa verba in unctum domini effutiret; aut, si condemnatus esset quasi alium quam Christiani deum coleret, veritatem velle discere, et gratiam ei non parvam habiturum, qui sibi errorem extorsisset et veritatem explicasset. paulo post patriarcha in eius conspectum venit, et quae res postulabat locutus, effecit ut iracundia placata veniam habitae orationis et defendendi sui potestatem Thessalonicensi daret, cum hac tamen castigatione, oportere eum, ut virum sapientem, ab obscoenitate verborum sibi temperare, nec effutire temere quae nihil ad rem pertinerent. postea cum scriptum de eo dogmate publice recitaretur, et ab omnibus ut pie explicatum laudaretur, se libenter subscripturos pollicentibus, consilium est dimissum. ac illi abibant laeti, quod adversatione sua imperatorem vicissent: is vero gaudebat, quod eos ad suam voluntatem flexisset, ac paucis verbis id consecutus esset quod antea verboso scripto impetrare non potuisset. postridie concilium prima luce iussu imperatoris in patriarchae aedi-

ἤθελον καὶ ταῦτα ὀβελισθῆναι καὶ ἕτερα ἐντεθῆναι τῷ ὀρθῷ κατὰ μηδέν τι προσιστάμενα δόγματι. ἦν οὖν αὖθις παροξυνόμενος ὁ κρατῶν καὶ ὡς ἀνοηταίνουσι καθαρῶς ἐπεγκαλῶν τὸ τῆς γνώμης ἄστατον καὶ ἀγχίστροφον. ὀψὲ δὲ καὶ μόλις συνήλθοσαν, ἵνα τὸ μὲν ἀνάθεμα τῷ θεῷ τοῦ Μωάμετ τῶν κατηχητικῶν βιβλίων ἀπαλειφθῇ, ἐγγραφῇ δὲ ἀνάθεμα τῷ Μωάμετ καὶ πάσῃ τῇ αὐτοῦ διδαχῇ καὶ διαδοχῇ. καὶ τοῦτο δογματίσαντες καὶ κυρώσαντες τῶν πολλῶν ἐκείνων συνόδων καὶ συλλόγων ἔληξαν.

7. Ἀλλὰ γὰρ οὐχ ὑπερβήσομαί τι καὶ ἄλλο τῶν ἀξίων εἰρῆσθαι, τοῦ ἱστορεῖν ἐνταῦθα γενόμενος. ἦν τις εὐνοῦχος ἀρχιερατικῶς προεδρεύων τῆς τῶν Χωνῶν πόλεως, Νικήτας τοὔνομα, πάσης ἀρετῆς καταγώγιον, οὕτω δὴ προφητικὸς καὶ προβλέπων τὰ ἔμπροσθεν ὡς τοῖς μεγίστοις τῶν ὁρώντων ἐγκρίνεσθαι καὶ εἰς θαῦμα κεῖσθαι παρ' οἷς ὁ ἀνὴρ ἐγνώριστο, εἴπερ ἡ καθ' ἡμᾶς γενεὰ πονηρὰ οὖσα καὶ μοιχαλὶς τοιοῦτον ηὐτύχησεν ἀγαθόν. ἀμέλει καὶ τοῦ βασιλέως τούτου ἐξ Ἀρμενίας παριόντος τὰς Χώνας ἀρτιστεφοῦς καὶ τῆς πατρῴας διαδόχου ἀρχῆς, καὶ τὸν ἀρχαγγελικὸν νεὼν εἰσελθόντος καὶ χειρὶ τοῦ ἀρχιερέως τούτου εὐλογηθέντος, ἐπειδὴ καὶ περιώνυμος ἦν ἐκ τῆς ἀρετῆς καὶ τοῖς ἅπασι διὰ στόματος, ἦσαν οἳ τῶν ἐντρόφων τοῦ βήματος, καὶ τούτων οἱ ἐς

6. κατηχητηρίων A. 7. καὶ διαδοχῇ om A. 10. ἄλλο] ἕτερον A. 18. παριόντος] ἄρτι π. τ. χ. νεοστεφοῦς A. 22 βήματος] ῥήματος A.

bus convenit, ut facerent quemadmodum promiserant. verum illi. omnes sententia mutata subscriptionem recusabant, quod in illo scripto adhuc verba quaedam reprehendenda laterent, quibus erasis alia reponenda essent, quae cum vera sententia congruerent. rursus igitur commotus imperator eorum vaecordiam inconstantiam et levitatem aperte insectatus est. sed illi tandem aegre assenserunt, ut anathema a deo Machometi in ipsum Machometum et omnem eius doctrinam et sectam in catecheticis libellis transferretur. quo post multos congressus decreto et confirmato tandem quieverunt.

7. Adiiciam etiam aliud memoratu dignum, postquam huc progressus sum. fuit eunuchus Nicetas, Chonarum episcopus, omni genere virtutis ornatus, futurarum rerum ita praescius ut inter maximos vates haberetur et omnibus qui eum norant admirationi esset, quod nostrae aetati improbae atque adulterae tantum bonum contigisset. cum autem hic imperator recens diademate redimitus, paterni imperii successor, ex Armenia revertens Chonis Archangeli aedem

νοῦν βάπτοντες, ἐν ἀπόρῳ ἐτίθεντο εἰ νέος ὢν ὁ Μανουὴλ P. 142
καὶ ἄρτι πρώτως χνοάζων τὸν ἴουλον διακυβερνήσειν ὅλως
τὴν βασιλείαν δυνήσεται, ἤτις τὸ πολὺ δεῖται ἀνδρὸς πολιοῦ
μὲν τὸ φρονεῖν λαχνήεντος δὲ τὸν πώγωνα, ἔτι γε μὴν εἰ
τὸν κασίγνητον καταπαλαίσειεν Ἰσαάκιον δικαιότερον ὄντα
πρὸς τὴν ἀρχὴν καὶ τῆς βασιλίδος τῶν πόλεων ἔνδον ἰζάνον-
τα. ὁ δὲ μέγας ἐκεῖνος ἀνὴρ καὶ ὄντως ἄνθρωπος τοῦ θεοῦ,
λύων τὸ ἄπορον καὶ διασαφῶν τὸ παρ' ἐκείνοις ἀμφιγνοούμενον, „ναί" φησι, „καὶ τὴν βασιλείαν ὁ μεῖραξ οὗτος δι-
ὠσνεῖ, καὶ αὐτῷ ὑποπεσεῖται ὁ ἀδελφός· οὕτω γὰρ θεῷ δέ-
δοκται καὶ προώρισται. ἵνα δὲ εἰδῆτε καὶ περὶ ὧν οὐδ' ὅλως
με ἤρεσθε, τὸν οἰκεῖον πάππον, λέγω δὴ τὸν αὐτοκράτορα
Ῥωμαίων καὶ προπάτορα ἐκείνῳ Ἀλέξιον, ὑπερβήσεται οὗτος
βραχύ τι κατὰ τοὺς τῆς ζωῆς χρόνους. τῆς δὲ τελευτῆς αὐ- B
τῷ ἐγγιζούσης μανήσεται." ἦν οὖν ἡ πρόρρησις αὕτη καὶ
ἐμοὶ τῷ συγγραφεῖ Νικήτᾳ σὺν ἄλλοις πλείστοις γνώριμος,
ὅτι καὶ ἐμὸς ὁ προφάντωρ ἀνάδοχος ἐκ τοῦ θείου βαπτίσμα-
τος. τίς δὲ ἄρα ἔσται ἡ μανία καὶ οἷος ὁ τρόπος αὐτῆς, οὐ-
δεὶς εἶχεν ἀκριβῶς συμβαλέσθαι τῶν εἰδότων τὸ προαγόρευ-
μα· οἱ μὲν γὰρ ἐς τὸ χρυσομανὲς ἀνέφερον τὸ προφοίβασμα,
οἱ δ' ἐς ἄλλο τι σαρκικὸν ἐλάττωμα ἠχμαλώτιζον. τοῦ δὲ
προσεχῶς εἰρημένου δόγματος κινηθέντος, καὶ παραβόλως
ἐνισταμένου τὰ πρῶτα τοῦ βασιλέως ἀληθῆ δοξάζειν θεὸν

2. ἄρτι] νῦν A. 17. ἐμὸς] ἐξ ἐκείνου τὸ θεῖον βάπτισμα ἔλαβον B. 23. δοξάζεσθαι A.

ingressus faustam comprecationem ab hoc pontifice accepisset ut ob virtutem ubique gentium celeberrimo, quidam sacerdotes, iique prudentissimi, dubitabant an Manuel adhuc adolescens ac pene imberbis tantum imperium administrare posset, quod virum senili prudentia praeditum et maturum postularet. deinde an fratrem Isaacium, qui urbem imperatricem obtineret, superaturus esset, cui meliore iure imperium deberetur. tum magnus ille vir et vere divinus homo in hunc modum respondit: „omnino adolescens iste et imperium gubernabit et fratrem superabit: sic enim a deo decretum et constitutum est. ut autem ea quoque sciatis de quibus non interrogastis, avum Alexium aetate paulum superabit: sed instante obitu insaniet." id praesagium et mihi et aliis plurimis fuit notum: is enim vates ex divino baptismate me suscepit. quae autem ea insania et cuiusmodi futura esset, nemo tum recte coniicere potuit: nam alii id praesagium ad insanam auri cupiditatem, alii ad libidinis intemperantiam detorquebant. sed cum haec, quam dixi, controversia agitata esset, imperatore temere principio contendente holosphyrum illum Machometi

τὸν παρὰ τῷ Μωάμετ ὁλόσφυρον καὶ μὴ γεγεννημένον ἢ γεννήσαντα θεόν, πέρας εἰληφέναι πάντες τὴν προθέσπισιν ἔφασκον, ἐπεὶ καὶ μανίαν ἀτεχνῶς ὀρθήν τε καὶ χειρίστην τὴν δόξαν εἶναι ταυτηνὶ ὡς τῆς ἀληθείας ἐπίπαν ἀντίθετον.

Κατήρξατο μὲν οὖν τῷ βασιλεῖ τὰ τῆς νόσου πρὸ τοῦ Μαρτίου μηνός, τῆς ἐνισταμένης τότε ιγ' ἰνδικτιῶνος, ὅτε καὶ τὰ περὶ τοῦ δόγματος ἐπεκύμαινε. καὶ αὐτὰ μὲν ἀφύβρισαν περί που μῆνα τὸν Μάϊον, ὁ δ' αὐτοκράτωρ ἐπιστάντος τοῦ Σεπτεμβρίου τὸ ζῆν ἐξεμέτρησεν. οὐδὲν δ' ἔτι κάλλιστον περὶ τῆς βασιλείας διῴκησεν, ἀλλὰ νωθέστερον ἦν διακείμενος πρὸς τὴν τῶν μετὰ τὴν μετάστασιν αὐτοῦ γενησομένων διαταγήν τε καὶ ὑποτύπωσιν. τὸ δ' αἴτιον, οὐ παρεδέχετο ὁπωσοῦν ὡς ἤγγικεν ἐκείνῳ τὸ τελευτᾶν, ἀλλ' εὖ εἰ- V. 117
δέναι διετείνετο ὡς ἐνιαυτοὶ ζωῆς καὶ ἕτεροι δεκατέσσαρες αὐτῷ ἐπιδαψιλεύονται. καὶ τοῦτο πρὸς αὐτὸν εἴρηκε τὸν σοφὸν καὶ τρισμάκαρα πατριάρχην τὸν Θεοδόσιον, ὑποτιθέμενον πατρικῶς φροντίδα τῶν τῆς βασιλείας θέσθαι πραγμάτων, ἕως ἔτι καιρὸς κἀκείνῳ ἔρρωται τὸ φρονεῖν, καὶ διφῆσαι τὸν ἀνθεξόμενον ἀκριβῶς τοῦ τῆς ἀρχῆς κληρονόμου παιδὸς οὔπω παραγγείλαντος εἰς ἥβην, καὶ πιστῶς προστησόμενον τῆς βασιλίδος καὶ οἷον μητροκομήσοντα. οἱ δὲ παντοδήλητοι ἀστροφένακες καὶ περὶ ἐρωτικά, κατ' αὐτοὺς εἰπεῖν, τὸν βασιλέα σχολάσειν ἀπετόλμων λέγειν ἀνασφήλαντα τῆς νόσου μετὰ βραχύ, καὶ πόλεων ἀλλοφύλων εἰς χῶμα τεθη-

14. ἤγγισεν A. 20. ἀρχῆς] βασιλείας A. 21. παιδὸς] υἱέως A. 23. ἀστροφάντορες A.

verum esse deum, qui nec genitus esset nec genuisset, omnes id oraculum eo retulerunt, quod illa opinio a veritate alienissima germana et pessima esset insania.

Imperator autem nocte, mense Martio, morbo correptus, indictione decimaquinta, quo tempore dogma illud in quaestionem vocatum est et mense Maio demum sopitum, mense Septembri obiit, nec de imperio quicquam praeclari ordinavit, in iis quae post suum obitum facienda essent, mandandis et praescribendis segnior. in causa fuit quod nequaquam credebat instare sibi mortem, sed scire se affirmabat XIV vitae annos adhuc restare. idque ad ipsum patriarcham Theodosium dixit, a quo monebatur ut pro paterna pietate rei publicae curam integris adhuc sensibus mature susciperet, et curatorem fidelem filii successoris, impuberis adhuc, et imperatricis quaereret. sed pestilentes impostores astrologi imperatorem paulo post ex morbo recreatum vacaturum esse amoribus, et barba-

σομένων καθαιρέσεις ἀπηναιδεύοντο. τὸ δὲ δὴ παραλογώτερον, πρόχειροι τὴν γλῶτταν ὄντες καὶ τῷ ψεύδει ἐνειθισμένοι καὶ συγκίνησιν προύλεγον τοῦ παντὸς συνδρομάς τε καὶ συνόδους τῶν μεγίστων ἀστέρων καὶ ἀνέμων ἐξαισίων ἐκρήξεις, καὶ σχεδὸν τοῦ παντὸς μεταστοιχείωσιν προεφοίβαζον, ἐγγα- P. 143
στρίμυθοι πλέον ἢ ἀστεροσκόποι δεικνύμενοι. οὐ χρόνους δὲ μόνον καὶ μῆνας ἠρίθμουν καὶ ἑβδομάδας κατέλεγον, ἐφ' ὧν ταῦτα γενήσεται, καὶ βασιλεῖ διεσήμαινον, ἀλλὰ καὶ ἡμέρας ἠκριβολόγουν καὶ τὸ τῆς ὥρας ἀκαριαῖον ἐβωμολόχουν, ὡς εἴπερ σαφῶς ἤδεσαν ἅπερ ἐν τῇ ἰδίᾳ ἐξουσίᾳ ἔθετο ὁ πατήρ, καὶ περὶ ὧν ἐπετίμα πυνθανομένοις τοῖς μαθηταῖς ὁ σωτήρ. ἀμέλει τοι οὐ μόνον αὐτὸς ὁ βασιλεὺς σπήλαια καὶ καταδύσεις ἀλεξηνέμους διηρευνᾶτο καὶ προητοίμαζεν εἰς ἐνοίκησιν, καὶ οἱ τῶν βασιλικῶν οἰκοπέδων καθηροῦντο ὕελοι, ὡς εἶεν ἀπαθεῖς ταῖς τῶν ἀνέμων ἐκθησαυριζομέναις πνοαῖς, ἀλλὰ καὶ ὁπόσοι τῇ θεραπείᾳ τούτου καὶ συγγενείᾳ ἐνεγράφοντο, καὶ οἱ κολακικῶς αὐτὸν ὑπεισήρχοντο, τοῖς αὐτοῖς ἐπιμελῶς B
ἐνέκειντο, ὡς τοὺς μὲν γεωρυχεῖν κατὰ μύρμηκας, τοὺς δὲ σκηνορραφεῖν καὶ σχοινία περιδέειν ἔντριτα καὶ πασσάλους ἀποξύνειν πηχυαίους εἰς ἀκράδαντον ἔρεισμα τῶν σκηνῶν. ἀλλ' ὅπερ ἔλεγον, ἐπειδὴ τὰ τῆς νόσου τῷ βασιλεῖ ἐπέτεινε, παραβόλως βαλανείῳ ἐχρήσατο, καὶ γνοὺς ἔτι πλέον ἐντεῦθεν τὰς τοῦ ζῆν ἀπαλειφομένας ἐλπίδας καὶ οἷον

3. συνδρομάς] ὅτι τὰ στοιχεῖα τοῦ οὐρανοῦ εἰς ἓν συναχθήσονται B. 12. ὁ om A. 13. ἀλεξηνέμους om A. 14. οἰκοπέδων] πέδων A, βασιλικοπέδων margo A. 16. τούτου — ὑπεισήρχοντο om A. 19. σκηνορραφεῖν] σκηνοπηγεῖν A, οἰκονομεῖν τέντας καὶ τεντόξυλα B. 21. ἐπετείνετο A.

ricas urbes eversurum, impudenter asserebant; et quod incredibilius est, homines praecipiti lingua et assueti mendaciis, motum universi orbis et maximorum siderum congressus et concursus ventorumque procellas ingentes et universitatis rerum pene mutationem praedicebant, engastrimythi potius quam astrologi. neque vero annos duntaxat et menses et hebdomadas numerabant, sed dies etiam et horae punctum designare non verebantur, quae suae potestati reservavit pater, et servator discipulos suos percontantes castigavit. proinde ipse modo imperator speluncas et meatus subterraneos contra ventorum impetum inquirebat et ad habitandum praeparabat, et palatiorum fastigia demoliebatur, ut minus impetu ventorum laederentur; sed et ministri et cognati et adulatores eius iisdem rebus intenti partim terram formicarum instar effodiebant, partim tentoria tripliciter consuebant et vectes cubitales, quo minus tabernacula

καθ' ὑγρῶν τυπουμένας καὶ τὴν προθεσμίαν ἀνυπεξάλυκτον ἐφεστῶσαν ὀλίγα περὶ τοῦ παιδὸς Ἀλεξίου τοῖς περιεστῶσι διειλεκται, κεράσας οἰμωγαῖς τὰ ῥήματα ἐκ τοῦ προορᾶν οἷον τὰ μετὰ τὴν ἐκείνου συμβησόμενα ἔξοδον. ἀλλὰ
C καὶ περὶ τῆς ἀστρονομίας ὑποθήκῃ τοῦ πατριάρχου βραχύν τινα χάρτην ὑπεσημήνατο, πρὸς τὴν ἐναντίαν δόξαν μεθαρμοσθείς. τέλος δὲ καὶ αὐτὸς τῇ ἀρτηρίᾳ προσάγων τὴν χεῖρα καὶ τὰς κινήσεις τοῦ σφυγμοῦ γνωματεύων, βύθιόν τι στενάξας καὶ πλήξας τῇ χειρὶ τὸν μηρὸν τὸ μοναδικὸν σχῆμα ἤτησε. θορύβου δέ, ὡς εἰκός, ἐπὶ τῷ ῥήματι τούτῳ ἀρ-
10 θέντος, καὶ τῆς πνευματικωτέρας ἀμφιάσεως ἐχούσης τὸ ἀπαράσκευον, τριβωνίου μέλανος οἱ περὶ τὸν βασιλέα ὀθενοῦν εὐπορήσαντες περιδύουσι μὲν αὐτὸν τὰ μαλακὰ καὶ ἀρχικὰ ἄμφια, ἐπενδύουσι δὲ τὸ τραχὺ τῆς κατὰ θεὸν πολιτείας ἔν-
15 δυμα, εἰς ὁπλίτην μετημειφότες πνευματικὸν κράνει τε θειοτέρῳ καὶ θώρακι σεμνοτέρῳ, τῷ οὐρανίῳ στρατολογήσαντες
D ἡγεμόνι. τὸ δὲ ῥάκος μὴ ποδῆρες ὂν μήτε μὴν δι' ὅλου τοῦ ἡρωϊκοῦ ἐκείνου καταβαῖνον σώματος εἶα τὰς κνήμας ἀκαλυφεῖς, ὡς μηδένα τῶν ὁρώντων εἶναι ἀδάκρυτον, ἐν νῷ βαλλόμενον τὴν ἀνθρωπίνην ἀσθένειαν καὶ τὴν ἐν τῷ τελευτᾶν
20 τὸν βίον τοῦ σώματος ἀχρειότητα, ὅπερ ἡμῖν ὡς ὄστρεον περιπλάττεται καὶ συμφύεται τῇ ψυχῇ. τοῦ βίου γοῦν οὕτω καὶ τῆς βασιλείας μεθίσταται, τριάκοντα καὶ ὀκτὼ χρόνους

9. τὸν μηρὸν] τὸ αὐτοῦ γόνατον B. 11. καὶ τῆς] καὶ ῥάσα γυρεύοντες B. 21. τὸν βίον om A. 22. περιπλάττεται] περιπλέκεται A.

concuterentur, acuebant. sed morbo, ut dixi, ingravescente, balneo usus cognovit spem vitae evanescere et terminum instare inevitabilem; ac pauca cum astantibus de Alexio filio locutus, oratione suspiriis interpolata, quia praevidebat quae post suum obitum tempestates impenderent, patriarchae monitu brevi chartae de astrologia subscripsit, mutata pristina sententia. denique admota ad arteriam manu et pulsu pertentato, cum alto suspirio femur percussit, et monasticum habitum postulavit. quo dicto cum, ut fieri solet, tumultus esset ortus, et spiritualem vestem nigro panno, omnis ornatus expertem, ministri nescio ubi nacti, mollibus et regiis vestibus detractis, et aspero illo divinae vitae indumento illi inducto, in spiritualem eum convertunt militem, et galea thoraceque insigniore ornatum in caelestis imperatoris catalogum referunt. ea lacerna, quippe brevior, crura heroici illius corporis non tegebat, ut nemo quin id cernebat a lacrimis sibi temperaret, humanae imbecillitatis cogitatione et vilitate corporis in morte, quo animus tanquam test

γεγονὼς ἐν τῇ βασιλείᾳ, λειπόντων μηνῶν τριῶν. πρὸς ἣν οἶμαι παράτασιν τῆς ἀρχῆς καὶ τὸ παλαίτατον ἐκεῖνο λόγιον ἀφορᾶν, ὃ διέξεισιν οὑτωσί, „ἀλλ' ὑστάτη σε κερδανεῖ λαβὴ V. 118 λόγου·" ἡ γὰρ τελευταία τοῦ ὀνόματος συλλαβὴ τὸν ὀκτὼ καὶ τριάκοντα διασημαίνεται ἀριθμόν. τέθαπται οὖν παρὰ πλάγιον πλευρὰν τῷ τὸν νεὼν εἰσιόντι τῆς τοῦ Παντοκράτορος μονῆς, οὐκ ἐν αὐτῷ τῷ τεμένει ἀλλ' ἐν τῷ περὶ τοῦτον ἡρῴῳ. τοῦ δὲ τοίχου τοῦ νεὼ εἰς ἀψῖδα περιαχθέντος ἡ περὶ τὴν σορὸν εὐρεῖα διαστέλλεται εἴσοδος. συνέχει δὲ τοῦ- P. 144 τον λίθος τὴν μελανίαν ὑποκρινόμενος καὶ διὰ τοῦτο στυγνάζοντι ἐοικώς, ὃς καὶ εἰς ἑπτὰ διέσχισται λοφιάς. παράκειται δέ οἱ ἐπὶ κρηπῖδος καὶ προσκύνησιν δέχεται λίθος ἐρυθρὸς ἀνδρομήκης, ὃν εἶχε πρότερον μὲν ὁ κατ' Ἔφεσον τὴν πόλιν ναός, ἐκεῖνον εἶναι διαθρυλούμενον ἐφ' οὗ Χριστὸς μετὰ τὴν ἀπὸ σταυροῦ καθαίρεσιν νεκροταφίοις εἰληθεὶς ἐσμυρνίσθη. ὁ δὲ βασιλεὺς οὗτος διακομίσας ἐκεῖθεν, καὶ οἷ τὸν νῶτον ὑποστρώσας ὡς ὁμόθεον σῶμα καὶ γεγονὸς ὅπερ τὸ χρῖσαν βαστάσαντι, ἐκ τοῦ κατὰ τὸν Βουκολέοντα λιμένος εἰς τὸν ἐν τῷ φάρῳ τοῦ μεγάλου παλατίου νεὼν τοῦτον ἀνήγαγε. μετ' οὐ πολλὴν μέντοι ἐν ὑστέρῳ χρόνου περίοδον τοῦ Βασιλέως τὸν βίον ἀπολιπόντος καὶ ὁ λίθος οὗτος ἐξήρθη τῶν

5. τέθαπται] ἐτάφη εἰς τὸ πλάγιον μέρος τοῦ ναοῦ τοῦ παντοκράτορος, ἐν αὐτῷ τῷ ναῷ, τοῦ τείχους εἰς ἀψῖδα γενομένου διὰ πλατείας εἰσόδου ἀπὸ τοῦ ναοῦ B. 6. τῷ τὸν νεὼν εἰσιόντι om A. 13. τὴν πόλιν om A. 16. μετακομίσας A. βαστάσας αὐτὸν ἐπὶ τῶν ὤμων αὐτοῦ ἀπὸ τοῦ λιμένος μέχρι καὶ τοῦ παλατίου, θήσας αὐτὸν ἐν τῷ ναῷ τῆς ἐκκλησίας. B. 20. πολὺν vulgo. χρόνω A.

inclusus coalescit. sic igitur et vita et imperio cedit, quod annos triginta octo gubernavit, tribus mensibus demptis. ad quod imperii spatium vetustissimum illud oraculum alludere videtur, „tui prehendet te postrema nominis." nam ηλ, postrema syllaba nominis Manuelis, apud Graecos tantum numerum complectitur. sepultus est in obliquo latere monasterii Pantocratoris, iuxta templi fores, in sacello adiuncto, qua templi muro in fornicem circumflexo latus circa tumulum ingressus distinguitur. lapis eum tegit nigricans et moestum aliquid prae se ferens, qui in septem vertices assurgit. non procul inde basi impositus adoratur lapis purpureus, viri magnitudine, qui ante fuit Ephesi; et is esse dicitur, in quo Christus de cruce sublatus et fasciis involutus conditus fuerit. eum lapidem imperator inde advectum humeris suis, quippe qui divinum corpus ipsumque Christum gestasset, a portu Bucoleontis usque ad aedem

ἀνακτόρων, καὶ μετενήνεκται ἔνθα δὴ ἀρτίως ἐμνήσθην, κράζων, οἶμαι, καὶ διατρανωσόμενος ὁπόσα ὁ τῇ σορῷ ὁ πῶν εἰργάσατό πως καὶ ἠγωνίσατο.

quae in turri palatii est pertulit. sed non multo post impera obitum saxum illud e palatio ad sepulcrum illius est translatum clara voce defuncti res gestas et certamina proclamet.

ΒΑΣΙΛΕΙΑ
ΑΛΕΞΙΟΥ ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ
ΤΟΥ ΥΙΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ ΜΑΝΟΥΗΛ.

1. Καὶ οὕτω μὲν ὁ βασιλεὺς Μανουὴλ ὁ Κομνηνὸς P. 146
καταλύει τὸν βίον, βασιλεύει δὲ μετ' αὐτὸν ὁ ἐκείνου παῖς V. 119
Ἀλέξιος, οὔπω καθαρῶς τῆς ἥβης ἁψάμενος, ἀλλ' ἔτι παι-
δοκόμων καὶ τιθευτρίας δεόμενος. πλημμελῶς τοίνυν καὶ V. 120
ἀχρείως τὰ Ῥωμαίων ἐφέρετο πράγματα, καὶ χειρόνως ἢ ὅτε
ὁ Φαέθων τὴν ἐν ἄστροις οὐρανοῦ τέμνειν ὁδὸν ἐπεβάλλετο,
τοῦ πατρικοῦ καὶ χρυσοκολλήτου ἐπιβὰς ἅρματος. αὐτὸς μὲν
γὰρ ὁ κρατῶν διὰ τὸ τῆς ἡλικίας ἀτελὲς καὶ τοῦ τὰ συνοί-

2. ΤΟΥ ΠΟΡΦΥΡΟΓΕΝΝΗΤΟΥ om B. 3. post ΜΑΝΟΥΗΛ B τοῦ κομνηνοῦ. 4. μὲν ὁ κομνηνὸς μανουὴλ καταλ. A. 6. τῆς ἥβης] τοῦ δωδεκάτου χρόνου B. παιδ. καὶ τιθ.] βαϊ-
ούλου καὶ βυζαστρίας B.

IMPERIUM
ALEXII COMNENI
PORPHYROGENITI
MANUELIS FILII.

1. Manuele Comneno ad hunc modum defuncto, filius Alexius fere impubis adhuc et puer, qui paedagogi et nutricis opera non satis commode carebat, successit. itaque Romana res publica perperam administrabatur, et peius se habebat quam cum Phaethon paternum currum per caelum regere conatus est. nam imperator ob immaturam aetatem et inopiam consilii nullam officii rationem ha-

σοντα φρονεῖν ἐνδεὲς οὐδενὸς ἦν τῶν καθηκόντων ἐ
φόμενος, κούφοις δὲ μόνον τρεφόμενος πνεύμασι καὶ τ
ρειν καὶ τὸ λυπεῖσθαι μήπω μεμαθηκὼς ἀκριβῶς κυνη
B προσανεῖχε καὶ ἱππηλασίοις προσέκειτο, παιδαρίοις σ
γμοσι συγγινόμενος καὶ τὸ ἦθος ἐν τοῖς χειρίστοις τυ
νος. οἱ δέ γε πατρῷοι τούτῳ ἑταῖροι καὶ οἱ καθ' αἷμα
προσήκοντες, ἑτέροις τὸν νοῦν προσέχοντες, τῆς τούτου καὶ
κατημέλουν ἀγωγῆς καὶ τροφῆς καὶ τὰ κοινὰ φθειρόμε
ρεβλέποντο. οἱ μὲν γὰρ τῆς βασιλίδος ἤρων καὶ ἐπείρ
λα λαμπρῶς, ἐπαφροδίτως βοστρυχιζόμενοι, καὶ τὸν
ἀντέρωτα θηρώμενοι ἐμυροῦντο νηπιωδῶς καὶ ἐμιτροῦν
ναικωδῶς περιδερραίοις λιθοκόλλοις, καὶ ὅλοις ὀφθαλμ
αὐτὴν ἐνητένιζον· οἱ δὲ χρηματιστικοὶ ὄντες καὶ δημ
C παρενοσφίζοντο τὰ δημόσια, ταῖς τε ἐφευρημέναις δα
ἀφειδέστερον χρώμενοι καὶ νέας προσεφευρίσκοντες, ἵν
εν οὕτω τὸ χθὲς κενὸν καὶ σύσπαστον βαλάντιον πλῆ
διῳδηκὸς σήμερον· οἱ δὲ τοῦ βασιλεύειν ἔχοντες ἔφεσι
τοῦτο τὸν οἰκεῖον σκοπὸν συνέτεινον ἅπαντα. ὡς γά
παιδαγωγοῦ γενναίου καὶ ἐμβριθοῦς ἐκποδὼν γενομένο
ξίας τὸ πᾶν ἐπεπλήρωτο, ἑκάστου τὸ οἰκεῖον μεταδια
ἐφετὸν καὶ ἀλλήλοις ἁπάντων ἀντιπραττόντων, ἤ κίονο
σπασθέντος ἑδραίου καὶ ἀστραβοῦς πρὸς ἐναντίαν φορὰ
νενεύκεισαν ἅπαντα. τῆς δὲ ἰσοτιμίας ἀτιμασθείσης
τοῖς τότε τὰ μέγιστα δυναμένοις καὶ κατὰ γένος συνα

2. δὲ μόνον om A. 6. δή που] τούτῳ A. 9. τῆς
δος] ἐπεθύμουν βασιλεῦσαι B. 12. λιθοκόλλοις] χρυσ
τοις A. 13. αὐτὴν] ἐκείνην A. 23. τῆς δὲ] καὶ τοίνυ

bebat, inani superbia elatus, et vix satis gnarus quae res
aut iucundae essent, venationi et equitationi incumbebat; pu
cum quibus colluderet, familiaritate utebatur, vita pessime
ta. paterni vero eius cognati et amici, aliis rebus intenti, illi
cationem aliis rebus omnibus antevertendam negligebant, nec
tum rei publicae curabant. nam alii imperatricis amore flagral
eius pudicitiam haud dissimulanter tentabant; calamistris, un
puerilibus, mitris muliebribus, aureis torquibus ornati, de
illam oculos habebant et mutuum illius amorem captabant. al
mines avari et rapaces, cum luxuriosissime viverent, fiscum
labantur, ut crumenam immodicis sumptibus exhaustam pecu
sarcirent. alii ad imperii cupiditatem omnia referebant. deniq
quam strenuo et gravi paedagogo sublato, confusa erant omni
suum quisque negotium agit et alteri adversatur; aut velut c
firma revulsa, in partem contrariam omnia inclinabant. proin

νοις τῷ βασιλεῖ, αἵ τε ὑπὲρ τῶν κοινῶν φροντίδες ἐξέλιπον καὶ αἱ συνδρομαὶ καὶ σύνοδοι ἠφανιώθησαν. καὶ τοῦ πρωτοσεβαστοῦ δὲ καὶ πρωτοβεστιαρίου Ἀλεξίου τοῦ Κομνηνοῦ, ὃς P. 147
εἰνεψιὸς ἦν πρὸς πατρὸς τῷ βασιλεῖ Μανουήλ, τὴν τοῦ παιδὸς καὶ βασιλέως μητέρα ὑποποιησαμένου καὶ θαμιὰ αὐτῇ ὁμιλοῦντος καὶ ὑπὲρ πάντα ἰσχύοντος ἕτερον, οἱ τοῦ αὐτοῦ μεταλαχόντες αἵματος καὶ ἰσοκρατεῖς εἶναι παρὰ τοῦ βασιλέως Μανουὴλ ἐαθέντες καὶ ἀξιώμασι μεγίστοις ἐμπρέποντες ἔστιν ἧ ἀπεπνίγοντο οἷς γινομένοις, ἔστι δ' ἧ καὶ τυραννίδα φυομένην ὁρῶντες ὃν πρωτοσεβαστὸν ὑπεβλέποντο, οὐ τοσοῦτον μὴ ὁ βασιλεύων Ἀλέξιος ἀηδές τι πάθοι περὶ πλείστου ἔχοντες, ὅσον μὴ αὐτοὶ συλληφθεῖεν ὑφορώμενοι. καὶ διὰ ταῦτα καραδοκοῦντες τὸ μέλλον, τὸ καθ' αὑτοὺς ἀσφαλὲς τοῦ πέλας προυτίθεσαν. ἤδη γὰρ ἡ φήμη λάλος ἦν καὶ διαρρήδην κραυγάζουσα ὡς Ἀλέξιος B
τῇ μητρὶ τοῦ βασιλέως σύμφυτος μικροῦ καὶ σύμπνους γενόμενος μέτεισι τοὺς πολλοὺς φιλίᾳ καὶ χρήμασι, καὶ καθελεῖν μὲν αὐτὸν τῆς βασιλείας ἐν νῷ τίθεται, ἑαυτὸν δ' ἐπιβήτορα ταύτης, ὥσπερ δὴ καὶ τῆς τεκούσης, γενήσεσθαι σκέπτεται. καὶ οὕτω μὲν τὰ κατὰ τὴν βασίλειον αὐλὴν πάσης ὄντα συγχύσεως καὶ παντοίου χειμῶνος ἔμπλεα, καὶ τὸ τοῦ μυθικοῦ δράκοντος πράγμασιν αὐτοῖς ὁρώμενον ἦν, ὃς κακῶς διετίθετο κωφῷ καὶ τυφλῷ μέρει τῷ οὐραίῳ διεξαγόμενος. ἢ τὸ τέρας πέρας ἐλάμβανεν, ὃ τὸν βίον τελευτῶντος ἐπεφάνη τοῦ

4. τὴν τοῦ παιδὸς] ὡς ἐλέγετο, ἐπλησίαζε τῇ μητρὶ τοῦ βασιλέως καὶ παιδός B. 8. ἧ] οἷ A. 15. μικροῦ om A. 19. βασιλείαν αὐτὴν A.

potentissimi quique, et cognati imperatoris, aequalitatem spernerent, rei publicae cura defecit, congressus et concilia deserta sunt. cum autem protosebastus et protovestiarius Alexius Comnenus, Manuelis patruelis, pueri imperatoris matrem sibi conciliasset, et crebro eius consuetudine uteretur, caeterosque omnes auctoritate vinceret, ii qui eadem orti erant familia et Manuele imperante parem potestatem obtinuerant, maximis dignitatibus praediti, molestissime illa ferebant. quidam etiam cum tyrannidem suboriri cernerent, protosebastum suspectum habebant, non tam de imperatoris Alexii salute solliciti, quam ne ipsi comprehenderentur metuentes. quapropter expectatione rerum futurarum suspensi, modo ipsi tuti essent, caeteros minus curabant. fama enim, ut loquax est, iam vociferabatur Alexium imperatrici adhaerere cum eaque conspirasse, multos sibi officiis et largitionibus conciliare, et imperatore ejecto regnum affectare et matris eius nuptias ambire. atque ita sese res imperii habebant, confusionis et turbarum plenae, non aliter quam in fabulis de serpente illo traditur, qui cauda surda et caeca non sine multis

αὐτοκράτορος Μανουήλ· γυνὴ γάρ τις κατὰ τὴν Προπο
C δα λαχοῦσα τὴν οἴκησιν παιδίον ἀπέτεκεν ἄρρεν, τὸν
λοιπὸν ἄνθρωπον ἐξηρθρωμένον καὶ λίαν βραχυμερέσται
τὴν δέ γε κεφαλὴν χρῆμά τι ἐπὶ τῶν ὤμων ἀνέχον μέγο
καὶ ἐξαίσιον, ὃ καὶ συλλελόγιστο πολυαρχίας εἶναι σημα
κόν, ἥτις μήτηρ ἀναρχίας ἐστίν.

V. 121 2. Ὁ δὲ Κομνηνὸς Ἀνδρόνικος ὁ τοῦ βασιλέως ἐξά
φος Μανουήλ, περὶ οὗ τὸ λέγειν ἐν τῇ κατὰ τὸν βασ
τοῦτον ἱστορίᾳ κατέρρευσεν ἱκανώτατα, διατρίβων τηνικο
κατὰ τὸ Οἰναῖον, ἐπεὶ πύθοιτο τὸν τοῦ Μανουὴλ θάν
καὶ διαστασιάζειν ἔγνωκε τὰ βασίλεια, τὸν παλαιὸν τῆς
ρανγίδος ἀνασκάλλει ἔρωτα. ἀλλὰ μήπω περὶ τούτων,
εἰρμὸν δὲ προϊὸν τὸ λέγειν ἐκεῖθεν τῆς ἱστορίας τῶν κατὰ
D ἄνδρα τοῦτον ἐχέσθω, ὁπόθεν ἄρχεσθαι ἄμεινον συναφ
ἕνεκα καὶ τοῦ μὴ παραλιπεῖν τι τῶν ῥηθῆναι ἀξίων. ὁ
δρόνικος τοίνυν οὗτος τὰς λαβὰς ἐκφεύγων τοῦ Μαν
ἀειφυγίαν εἵλετο, καὶ πόλεις ἀμείψας συχνὰς καὶ πλε
ἐθνῶν ἄστεα κατιδὼν τέλος, ὡς εἰπόντες ἔχομεν, κατα
παρὰ τῷ Σαλτούχῳ· τοπάρχης δ' ἦν οὗτος εἰς ἀρχὴν
ἐξαιρεθεῖσαν τὴν τῇ Χαλδαίᾳ προσεγγίζουσαν χώραν, Ῥω
οις μὲν πάλαι ὑπόφορον, τότε δὲ τοῖς Τούρκοις καὶ
τούτων ὑπείκουσαν ἔθεσι. καὶ παρειληφώς τι φρούριον
τοῦ ἐκόντος, καὶ τῇ φυσικῇ τούτου ἐρυμνότητι τὴν ἀπὸ

2. ἔτεκεν A. τὸν μὲν λοιπὸν] τὸ μὲν ὅλον σῶμα καὶ
μικρὸν ὄν, τὴν δὲ κεφαλὴν μεγάλην τοσοῦτον ὡς παρὰ πά
θαυμάζεσθαι B. 9. ἐρρευσεν ἱστορία A. 10. ἐπεὶ]
δὴ π. τὸν τοῦ βασιλέως θ. A. 14. ἄρχεσθαι] ἔχεσθαι A.

offensionibus progrediebatur. is rerum status monstro illo sub M
lis obitum edito praesignificatus fuit. nam mulier quaedam in
pontide habitans puerum peperit, caetera perexilem et imbecil
sed capite ingenti. id principatus multorum, quem omnis impe
disciplinae contemptus sequitur, omen habitum.

2. At Comnenus Andronicus imperatoris Manuelis patrueli
quo in illius historia copiose scripsimus, cum imperatoris mo
et aulae dissidia Oenaei audivisset, veterem tyrannidis amorer
novat. sed haec suo loco commodius referentur: nunc vero, ne
historiae interrumpatur neque quicquam memoratu dignum pra
mittatur, paulo altius exordiamur. hic Andronicus, ut Manuelis
ses evitaret, cum perpetuum sibi ipsi exilium indixisset, multi
bibus, multis provinciis peragratis, tandem ad Saltuchum, ut
mus, divertit. toparcha is erat, cui regio Chaldaeae vicina in po
nem cesserat, olim Romanis tributaria, tum autem Turcicae

τέχνης προσθείς, ἐκεῖσε προσέμενε, συμπλανῆτιν ἔχων ἑαυτῷ καὶ συνέκδημον τὴν Κομνηνὴν Θεοδώραν, ἥτις ἀθεμίτως αὐτῷ συνηυνάζετο θυγάτηρ Ἰσαακίου οὖσα τοῦ σεβαστοκράτορος· ἐξ ἀδελφῶν δ' ἔφυσαν ἄμφω, Ἰσαάκιος καὶ Ἀνδρόνι- P. 148
κος. ὁ τοίνυν αὐτοκράτωρ Μανουὴλ συνειληφέναι οὐκ ἔχων Ἀνδρόνικον, ἀλλ' ὅσα καὶ Ἰξίων Ἥρας τούτου ἀποπλαζόμενος, ὡς γοῦν νεφέλην τὴν ἀνεψιὰν Θεοδώραν περισχεῖν διὰ φροντίδος ἐτίθετο, καὶ τοῦ κατὰ σκοπὸν ἐπιτυχὴς γεγονὼς διὰ τοῦ τότε τὴν ἀρχὴν τῆς Τραπεζοῦντος ἀνεζωσμένου Νικηφόρου τοῦ Παλαιολόγου, μετὰ βραχὺ καὶ αὐτὸν ἐπισπᾶται Ἀνδρόνικον, ὅσα καὶ δελητίῳ τῇ Θεοδώρᾳ κατασπώμενον καὶ τῷ ταύτης ἀγκιστρευόμενον ἔρωτι, οὐ μικρῶς καὶ τῷ τῶν παίδων πυρὶ δαπανώμενον οὓς ἀπέτεκεν αὐτῷ Θεοδώρα. στείλας τοίνυν πρέσβεις εἰς βασιλέα αἰτεῖται ὧν πεπαρῴνηκεν ἀμνηστίαν, πρὸς δὲ καὶ ἀσφάλειαν ὡς οὐδέν τι πείσεται θυμαλγὲς ἀφικόμενος. καὶ τοῦ βασιλέως πρὸς ἄμφω οὐκ ἀπα- B
τηλῶς κατανεύσαντος μετά τινα καιρὸν προσχωρεῖ. πολυμήχανος δ' ὢν Ἀνδρόνικος καὶ παντοίοις δόλοις καζόμενος ἀλύσει σιδηρέᾳ πολυταλάντῳ διαλαμβάνει τὸν τράχηλον, καὶ ταύτην ἔνδον συσχὼν καὶ περιθάλψας τῷ ἱματίῳ ἐς τὰ τῶν ποδῶν ἔσχατα καταβαίνουσαν, ὡς εἴη βασιλεῖ τε ἀφώρατος καὶ τοῖς τὸ βῆμα τούτου πληροῦσιν ἀθέατος, λαβὼν τοῦ ὀφθῆναι τῷ αὐτοκράτορι καὶ θεάσασθαι τὸ ἐνδόσιμον, ἐπεὶ καθά-

4. ἐξαδέλφου πρώτου ὄντος τοῦ ἀνδρονίκου B. 8. κατὰ τὸν σχ. ἐπ. φανεὶς A. 19. πολυταλάντῳ] βαρυταλάντῳ A.

nis et religionis; et castello illius voluntate occupato, atque ad naturalem loci situm artis munitione adiuncta, ibi se tenebat, Theodora Comnenia, Isaacii sebastocratoris filia, quam incesto amore prosequebatur, fugae comite: orti autem fratribus erant Isaacius et Andronicus. Manuel vero cum eum non magis comprehendere quam lunonem Ixion posset, Theodoram, tanquam ille nubem, capere studuit; atque eius voti per Trapezuntis principem Nicephorum Palaeologum compos factus, paulo post ipsum etiam Andronicum, Theodorae amore tanquam esca illectum et non mediocri filiorum, quos illa ei pepererat, desiderio flagrantem, attraxit. missis enim ad imperatorem legatis delictorum veniam et fidem publicam postulavit; et utraque re impetrata, aliquanto post in urbem reversus, ut erat solers et callidus, gravi catena ferrea collo circumvoluta et sub veste ad pedes usque demissa, ne vel ab imperatore vel ab astantibus cerneretur, cum in eius conspectum venisset, humi porrectus quantus erat, prolata catena et lacrimis oppletus offensarum veniam magna contentione, supplici et miserabili gestu, flagitavit. imperator

παξ ἐκείνῳ εἰς θέαν κατέστη, μέγας μεγαλωστὶ κατὰ τ
πέδου ἐκτείνεται προτείνας τὴν ἅλυσιν, καὶ δακρύοις τ
τοὺς ὀφθαλμοὺς ἐδεῖτο θερμότερον καὶ περιπαθῶς καθι
συγγνώμην εὑρεῖν ἐφ' οἷς δή που παραλελύπηκεν. ὁ
C σιλεὺς ἐπὶ τοῖς δρωμένοις ἔκθαμβος γεγονὼς αὐτός τ
δάκρυα προήχθη καὶ τοὺς ἐξεγεροῦντας ἐπέταξεν. ὁ
ἀναστῆναι τῶν κάτω διισχυρίζετο, εἰ μὴ βασιλέως ἐπ
χότος αὐτόν τις τῶν παρεστηκότων διὰ τῆς ῥυμοτομίας
σει τοῦ βήματος, λαβόμενος τῆς ἁλύσεως, καὶ προσουδι
θρόνῳ τῷ βασιλείῳ. ἀμέλει καὶ γέγονεν ὡς ἐδεῖτο Ἀνδρ
ὑπουργήκει δὲ πρὸς τοῦργον τοῦτο Ἰσαάκιος ὁ Ἄγγελος
θελὼν τῆς τυραννίδος Ἀνδρόνικον ὕστερον· καὶ θαι
ἄν τις τὸ τελεσθὲν τηνικάδε καιροῦ οὐκ εἰς ἄλογον συγκυ
αὐτόματον ἀπολύσει τοῦτο περίπτωσιν. τῷ δ' οὖν τότ
πρότατα προσδεχθεὶς ὁ ἀνὴρ καὶ φιλοφροσύνης μεγα
ποῦς ἀξιωθείς, ὡς ἔδει τηλικοῦτον ἄνδρα χρόνιον ἐπο
D τα, πρὸς τὸ Οἴναιον ἀποστέλλεται, ἐκεῖσε τὰς διατριβ
λέσων καὶ τὴν μακρὰν ἀνακωχεύσων περιοδείαν καὶ τ
λυετῇ καταπαύσων πλάνον. ἤδεσαν γὰρ ἀμφότεροι
ἐν ταὐτῷ συνουσίας εἰς τὰς προτέρας ἐπαναλύσοντα
ρὰς· μηδὲ γὰρ ἂν ἠρεμήσειν ὅλως τὸν φθόνον καὶ οἷς
V. 122 τῷ φιλαιτίῳ τὴν παρὰ τοῖς κρατοῦσιν οἰκείωσιν ἄρνυσθ
ταῖς τῶν ἄλλων διαβολαῖς ἑαυτοὺς ἐπικρατύνειν καὶ ε
ζους προσεπαίρειν τιμάς.

3. Ἦν οὖν Ἀνδρόνικος Διός τε πόρρω καὶ κερ

8. διὰ τῆς ῥ.] δήσῃ ἐπὶ τὸν θρόνον τὸν βασιλικὸν B. σει A. 10. βασιλικῷ A. 12. Ἀνδρ.] αὐτὸν A.

eo spectaculo stupefactus et ipse in lacrimas erupit, eumqu iussit. ille vero se surrecturum esse negavit, nisi iussu imp ab aliquo ex astantibus catena ad tribunal imperatorium at tur atque procumberet. factum est ut petiit Andronicus, Ange cio, a quo post et imperio et vita privatus est, ministro: tione digna res, quaeque non fortuito accidisse videri que autem splendidissime et magnificentissime susceptus et humi tractatus, ut decebat tantum virum ex diuturna peregrinati versum, Oenaeum ablegatur, ut ibi habitaret et ex longinqu ribus se recrearet. ambo enim norant, si una degerent, veteres simultates recrudescerent. neque enim quieturam in neque otium acturos eos quibus studio est criminando pr captare benevolentiam, et alios calumniando suas opes firma altiorem dignitatis gradum ascendere.

3. Erat igitur Andronicus procul a Iove et a fulmine, ir

παρὰ τοσοῦτον οὐ τὸν πρώην ἕλκων πονηρὸν βίοτον παρ' ὅσον οὐ τῆς Ῥωμαίων ἐπλάζετο ὑπερόριος καὶ δωρεῶν ἐνεφορεῖτο βασιλικῶν. ἐκεῖσε τοίνυν ὢν τὸν τοῦ Μανουὴλ ἠνωτίσατο θάνατον καὶ τὰς ἐν τοῖς βασιλείοις νόσους ἠκρίβωκε, καὶ ὡς ὁ βασιλεὺς Ἀλέξιος ἱππασμοῖς διαχεῖται καὶ προσκέτηκε παιδιαῖς ὁπόσαις φιληδοῦσιν οἱ παιδαριώδεις τὴν φρόνησιν, τῶν δὲ παιδοκομούντων αὐτὸν εὐπατριδῶν οἱ μὲν κατὰ τὰς μελίσσας συχνὰ πρὸς τὰς ἐπαρχίας λύουσι τὸ πτερὸν καὶ ὡς μέλι τὰ χρήματα τιθαιβώσσουσιν, οἱ δὲ κατὰ τὰς αἶγας τοῦ τῆς βασιλείας ἐρῶσι θαλοῦ καὶ συνεχῶς ἐρωτιῶσι τοντονὶ δρέπεσθαι, ἔνιοι δὲ τὰς ὗς μιμούμενοι ἐκ τῶν ῥυπαρωτέρων προσόδων λιπαίνονται, πρὸς μὲν τὸ ἐπαινετὸν καὶ τῆς κοινῆς πατρίδος ὠφέλιμον οὐδ' ἀναθρεῖν ὅλως οὐδ' ἀνακύπτειν αἱρούμενοι, ταῖς δὲ μυσαραῖς ἐγκυλινδούμενοι πράξεσι καὶ συωδῶς πρὸς ἅπαν ἐγκυπτάζοντες χείριστον. αἰτίαν οὖν ἐφιλοκρίνει καὶ ἀνηρεύνα περιεργότερον, δι' ἧς εὐαφόρμως τῇ βασιλείᾳ ἐπίθοιτο· καὶ πολλοὺς λογισμοὺς ἀνελίξας καὶ πᾶσαν μηχανὴν μετελθὼν τέλος τὸ τοῦ ὅρκου βιβλίον ἐπεισιν ὃν τῷ Μανουὴλ καὶ τῷ υἱῷ ἐκείνου Ἀλεξίῳ εἶχον ὁμωμοκώς, καὶ μεθ' ἑτέρων εὑρὼν ῥημάτων καὶ ταῦτα ἐγκείμενα —. χρεὼν δὲ μὴ ὑπονοθεύειν ἑτέρᾳ φράσει τὰ ῥήματα, ἀλλ' ὡς ἐπὶ λέξεων εἶχον, οὑτωσὶ καὶ δηλοῦν. διεξῆσαν δὲ ὧδε „καὶ εἴ τι δὲ ἴδω ἢ νοήσω ἢ ἀκοῇ παραλήψομαι εἰς ἀτιμίαν ὑμῶν καὶ λύμην τοῦ ὑμετέρου φερόμενον στέμματος, P. 149 B

5. ἱππασμοῖς] παιγνιδίοις καὶ ἐγκράσμασι μετὰ παιδίων ἀνοήτων παίζει B. 11. τὰς ὗς] τὰς μίγιας B. ῥυπαρωτέρων] λιπαρωτέρων A, παχυτέρων καὶ λιπαρωτέρων B. 20. εὑρὼν A.

2. ἐκζητ. A. 8. ἐπαινετέα ἐπόμενον A. 10. συνοῖσον] συμφέρον A. 12. ἐπὶ τοῦ] εἰς τὸ κατάρτιον τοῦ τζαχισθέντος καραβίου κρεμασθήσεται καὶ φουρκισθήσεται B. 13. φλοῖσβος] κῦμα θαλάττιον, ἐφ' ὑψηλῆς ἀγχιάλου ἀνασκ. A. 16. κατὰ] ἐς A. 17. λαῖφος] ἄρμενον A.

stra auctoritate magistratum aliquem gerit, si quis fundos maritimos possidet, is primum se ipsum, deinde subditos quoque ad iustam dei et imperii nostri observantiam ac reverentiam confirmet. profecto poena dilecti multiplex ab eo exigetur, qui vel provinciae praest vel agrum possidet. quodsi ipse et animo a facinore abhorruerit et manus abstinuerit, sed ministri eius scelus id admiserint, id ipsi imputabitur. nam si sceleratus dominus flagellabitur, servitia resipiscent. et ut subditi in illaudatis rebus principem imitari solent, ita etiam, si is flagelletur et publicae utilitati servire cogatur, hi eum ut matrem filius sequentur. ut autem poenae quoque modum noveritis, quam edicti mei contemptor luet, in malo navis pendebit. sin eum fluctus marinus deturbarit, in alto littore editaque speculatissimae arbori quae in iis montibus caedi poterit, affigetur; ut qui medio mari navigant eum conspiciant, velut de antenna velum, prominentem, atque in terra naufragum, suo exemplo caeteros monentem

τέροις εἶχε τὸν νοῦν, τὸν ἄγαν χαρακτηρίζων παθαινόμενον καὶ εἰκάζων τὸν μηδ' ὅλως παραδεξόμενον τῶν δοξάντων μεταποίησιν ἢ ῥοπὴν φιλάνθρωπον ἐφ' οἷς ἀπεφήνατο· οἱ δ' ἐκπύστως ἀπολιθωθέντες τῷ δέει μικροῦ (πείρᾳ γὰρ ἤδεσαν ὡς οὐκ οἶδε παίζειν Ἀνδρόνικος, οὐδ' ἄλλα μὲν ἐν τοῖς τοιούτοις φθέγγεσθαι ἄλλα δὲ κεύθειν ἐν ταῖς φρεσίν), ὀψὲ καὶ μόλις ἐν τῷ καθεστῶτι γενόμενοι, ἐπιστολὰς γράψαντες διὰ ταχυδρόμων ἐξέπεμψαν τοῖς τῶν σφετέρων ἐπιστάταις κτημάτων καὶ τοῖς ἀντ' αὐτῶν διέπουσι δημοσίας ἀρχάς, πολλὰ τούτοις ἐπισκήπτοντες καὶ παράκλησιν πᾶσαν ἐπάγοντες, προσ- C
σχεῖν τε καὶ ἐπαγρυπνῆσειν μήπως ναυαγίῳ ἐγκύρσασα ναῦς ἐσεῖταί τι πεπονθυῖα δεινόν, εἰ δὲ δυνατόν, καὶ τοῖς ἀνέμοις αὐτοῖς ἐπιτιμᾶν ἢ κατὰ τὴν Αἰόλου μυθολογίαν ἀσκοῖς τὰ πνεύματα συλλαμβάνειν, ἵνα μὴ καταιγίδας ἐγείρωσι καὶ τὴν ἅλμην διαταράσσωσιν. ἀμέλει τοι ἐκ τοῦδε οὐκ ἦν ὁρᾶν πλοῖον ὃ περιπεσὸν κλύδωνι παρά του τῶν ἁπάντων διηρπάγη τι τοῦ φόρτου ἢ μέρος τῶν καταστρωμάτων ἀφῄρητο ἢ καθῄρητο τὸν ἱστὸν ἢ ἄγκυραν ἀπεβάλετο ἢ τῶν ὅπλων τινὸς ἐστέρητο μέχρι καὶ μηρίνθου λεπτῆς, ἀλλὰ πνεύμασι τῇ χέρσῳ ἐκπτυόμενα ἢ χοιράσιν ἀρασσόμενα πέτραις ἢ προβό- D
λοις καταρρηγνύμενα, ὡσεὶ καὶ Χαρωνικὰ ψυχαγωγὰ ἀκάτια V. 174
ἐκ στομίου ᾅδου ἀναγόμενα ὑπεβλέποντο ἀντιπαρερχόμενα ἢ

4. ἀπολιθωθέντες] ἀποναυτιάσαντες A. 5. οὐδὲ ἄλλα λέγει καὶ ἄλλα πράττει, ἀλλὰ συντομώτερόν ἐστι τὸ τιμωρῆσαι ἢ τὸ εἰπεῖν αὐτόν B. 8. ταχυδρόμων] πεζοδρόμων B. 9. τοῖς ἀντ'] τοὺς τὰς δημοσιακὰς ἐνοχὰς ἔχοντας B. διέπουσι] διοικοῦσι A. 15. ἐκ] κἀκ A.

ne naufragia invadant et naves spolient, quemadmodum deus arcum suum in nubibus suspendit, qui argumento esset non fore amplius diluvium." (5) Quae cum dixisset magnum dolorem prae se ferens, eumque exprimens qui nec consilium mutaturus nec de sententiae severitate quicquam remissurus esset, aliis rebus intentus fuit. auditores vero experientia edocti nescire iocari Andronicum, nec alia loqui alia sentire in rebus huiusmodi, metu trepidabant; et vix tandem animis receptis, per veredarios procuratores suos et in magistratibus suam vicem obeuntes severissime monuerunt ac obtestati sunt, ut vigilantissime caveant ne tempestate fracta navis laedatur, sed potius, si fieri possit, ipsos etiam ventos increpent aut, ut de Aeolo fabulantur, utribus includant, ne turbinibus mare exagitent. ab eo tempore nulla navis iactata fluctibus ullam sarcinarum iacturam fecit, aut parte tabulatorum spoliata est, aut malum ancoramve aut minimum funiculum, nedum ulla armamenta amisit. imo sive ventis in terram ageretur sive scopulis occultis allisa frangeretur, non

ὡς θεωρίδες νῆες ἀμφιπεριείποντο, καὶ μεθ' ὑποστολῆς
χον ἀμφιπονούμενον αὐτὰς τὸν πολὺν καὶ λαώδη ὅμιλον
τὸ χειρίζον τὰς ἀρχάς, μὴ πού τι κατὰ χέρσον ἀπολέσα
ὃ μὴ κλύδων ἠφάντωσεν ἅλιος. καὶ ἦν ἀτεχνῶς γαλήνη
γελῶσα ἐκ ζάλης καὶ δεξιᾶς ὄντως θειοτέρας ἀλλοίωσις
ὁρώμενον.

Οὗτος ἀνεκαίνισε μεγίσταις δαπάναις καὶ τὸν παλα
ὑπόγειον ἀγωγόν, ὃς περὶ μέσην ἔξεισιν ἀγορὰν ὑετί
κάτωθεν ὕδωρ οὐχ ἑστὸς καὶ νοσῶδες ἀλλὰ πηγιμα
καὶ πότιμον ὡς πλανώμενον· τὸν γὰρ ποταμὸν Ὑδ
λην ἐπωχέτευσε τῷ αὐλῶνι τούτῳ τοῦ ὕδατος, καὶ π
τὰς πρώτας τούτου πηγὰς πύργον τε ἀνῳκοδόμησε
οἰκήματα ἤγειρε πρὸς θερινὴν διαίτησιν ἐπιτήδεια.
νῦν ἐκ τούτου ὑδρεύονται ὁπόσοι περὶ τὰς Βλαχέρνας
ἔτι ἐνδοτέρω τῆς πόλεως τὴν οἴκησιν ἔλαχον. οὐδὲ γὰρ ἄπ
τὸ ὑδροδοχεῖον ἐπεσκεύαστο, ἵνα καὶ κατὰ μέσην τὴν ἀγ
ρὰν ἐκδίδωσι τὸ ὕδωρ διαυλωνιζόμενον· ὁ γὰρ μίτος ἐκ
P. 212 νον ἐπιλέλοιπε τῆς ζωῆς. τοσοῦτον δ' ἐμέλησε τοῖς μετ' ἐκ
νον ἄρξασιν, ὅσοι τέως ἐς δεῦρο ἀνάσσουσι, πέρας ἐπιθεῖν
τῷ κοινωφελεῖ τούτῳ ἔργῳ, ὥστε καὶ ὁ τοῦτον μετασήσα
τῆς ἀρχῆς ἅμα καὶ τῆς ζωῆς Ἰσαάκιος τόν τε πύργον κατ
ρειψε καὶ τὰς χαριεστάτας οἰκήσεις κατέβαλε, φθονῶν ὥσπ
Ἀνδρονίκῳ τῆς καλλίστης ταυτησὶ πράξεως.

1. νῆες θεωρίδες περιείποντο A. 2. λεώδη A. 3. πο
πώς A. 7. μεγίσταις] μετὰ ἐξόδων πολλῶν B. 10.
πλανώμενον om A. 11. περὶ] εἰς τὰς βρύσεις B. 17.
αυλιζόμενον A. ἐκείνω A. 21. κατήρειψε] ἐχάλασε B.

aliter spectabatur quam cymba Charontis, qua ex faucibus infer
animae veherentur; aut ut sacrae naves a populo et magistratib
submisse curabantur, ne quid in terra amitterent quod mare n
abstulisset.

Ita ex tempestate subita tranquillitas extitit, ut ea mutat
divinitus instituta videretur. idem maximum aquaeductum subter
neum, qui in medio foro non stagnantem et morbidam sed font
nam et potabilem aquam effunderet, maximis sumptibus renovavi
Hydrale fluvio in eum derivato; ad cuius primos fontes turrim e
truxit et aedes ad aestivandum idoneas. ex eo fonte adhuc aqua
tur, qui ad Blachernas et interius etiam in urbe habitant. nam
opus morte eius interruptum est, quo minus aqua in medio qu
que foro exiliret. secuti autem imperatores in hunc usque diem
opus ita curarunt, ut Isaacius, qui Andronico una cum imperio vit
eripuit, et turrim et aedes amoenissimas diruerit, ex invidia mi
rum pulcherrimi istius faciuoris.

Ἀναποιῶν δὲ καὶ τὰς πραιτωρίας ἀρχάς, ἄνδρας λογίμους καὶ τῶν ἀπὸ τῆς βουλῆς ἀρίστους αὐταῖς ἦν ἐφιστῶν. ἀλλὰ καὶ ἀδροτάτοις ἐπαίρων φιλοδωρήμασι, τεθραμμένους εἶποι ἄν τις ταῖς εὐποιίαις ἐξέπεμπε, προμηθούμενος ἐντεῦθεν τοῦ ἀνεπαχθῶς ταῖς πόλεσι στέλλεσθαι καὶ τοῦ σφᾶς ἐπιμόνως προσανέχειν τῷ ἐλέῳ καὶ τῇ κρίσει τῶν ταπεινῶν. B οἱ δὲ διαρκῶς τῶν ἐπιτηδείων ἔχοντες (ἀνὰ τεσσαράκοντα γὰρ καὶ ἀνὰ ὀγδοήκοντα νομίσματος ἀργυρέου μνᾶς ἀπεφέροντο) ὥσπερ ἱερῶν χρημάτων ἐφείδοντο ἃ παρά τινων καὶ αὐθαιρέτως σφίσι παρείχοντο ἀνθ' ὧν ἐκ χειρὸς δυνάστου ἐρρύσθησαν ἤ τινος ἄλλως ἀγαθοῦ μετεσχήκασιν. ὅθεν διὰ βραχέος εἰς πληθυσμὸν αἱ πόλεις ἐπέδωκαν, ἥ τε γῆ τὰ ἐκφόρια κατὰ ἑκατοστύας ἀνέδωκε, καὶ ὀλίγου τὰ πρὸς τὸ ζῆν ἀπεδίδοτο. ἦν δὲ καὶ τοῖς κατειπεῖν ἔχουσι τῶν χειροδικῶν εὐέπευκτος, καὶ πρόσωπα μὴ λαμβάνων οὐκ ἦρεν ἀπὸ τοῦ δικαίου τὸ δίκαιον, ἀλλ' ἐπ' ἴσης τῷ τὴν τύχην χθαμαλῷ τόν καὶ γένει καὶ πλούτῳ σεμνὸν παράγων ἐπὶ τὸ κρίνεσθαι C ἀμφοτέρων νουνεχόντως κατηκροᾶτο, καὶ ἐπέπληττεν ἱκανῶς καὶ δίκην ἐπετίθει ἀνάλογον τῷ γαύρῳ καὶ ἀδοξοῦντι μετὰ πένητος κρίνεσθαι, εἰ πεφώραται ἀδικῶν ἢ ἐκθλίβων καὶ πλήττων πυγμῇ τὸν ἔγγιστα. ποτὲ οὖν καιροῦ περιέστησαν αὐτὸν ἐξ ἀγροικίας τινές, κατ«βοῶντες τοῦ Δαδιβρηνοῦ Θεοδώ-

1. ἀναποιῶν] πέμπων δὲ εἰς τὰ κεφαλατίκια B. 6. ταπεινῶν] πτωχῶν A. 8. νομίσματος] λίτρας ἀργυρίου διὰ νομίσματος B. 11. μετεσχήκασιν] μετέλαβον A. 12. τὰ ἐκφόρια] εἰς ἑκατὸν τοὺς πόνους ἐκαρποφόρησε B. 17. τὸ] τῷ A. 20. πλήττων] τύπτων A. 21. αὐτὸν ἀγροῖκοι A.

In praetoriis magistratibus reficiendis viros praestantes et senatorii ordinis optimos delegit, et amplissimis muneribus donatos ablegavit, ut beneficiis tantis ornati minus graves essent civitatibus et defendendis ac sublevandis pauperibus semper intenti. qui, cum abunde suppeteret unde viverent (nam quadragenas et octogenas argenti minas secum auferebant), tanquam sacrilegio etiam iis abstinebant quae a provincialibus ultro offerebantur, quod aut e manu potentis erepti aut aliis beneficiis affecti essent. unde civitates exiguo tempore creverunt, terra centuplum fructum tulit, annona parvo veniit. facile quoque se ab iis adiri passus est Andronicus qui de violentia potentum querebantur, nulla personarum habita ratione; nec ius a iusto removit, sed genere et opibus illustres aeque ac tenuis fortunae homines in ius adductos ex aequo audivit. insolentes, quos cum obscuris hominibus iure agere pudebat, si convicti essent iniuriarum, quod pauperes opprimerent aut pugnis caederent, graviter castigatos pro delicti modo multabat. aliquando Dadibrenum Theodorum, quem

ρου ὡς καταλύσαντος παρὰ σφίσιν ἐν τῷ παροδεύειν, κα
πορισαμένου μὲν ὅσων ἐσπάνιζεν αὐτὸς καὶ ἡ ὑπηρεσία α
τοῦ ἅπασα καὶ τὰ ὀχήματα ξύμπαντα, μηδὲν δ' ἀπόδο
καταθεμένου ἐν τῷ μεθίστασθαι. ἔστι δ' ὁ Λαδιβρηνὸς ο
τος ὃν ὁ λόγος ἐδήλωσεν ἄνωθεν ὑπηρετῆσαι μεθ' ἑτέρων
τοῦ βασιλέως Ἀλεξίου πνιγμονῇ. δικάσας οὖν μετὰ τῶν ἀγ
D τέρων ἐκείνων, καὶ ἀληθείας εὑρὼν ἐχόμενα τὰ λεγόμε
αὐτὸν μὲν δι' ἀλλακτῶν ἐπαίδευσε δώδεκα, τὴν δὲ τῶν ἀ
λωμάτων τιμὴν ἐς τὸ πολλαπλάσιον ἐκέλευσε· καταθέσθα
τοῖς ἐπὶ τῶν χρυσώνων τῶν βασιλικῶν. ἔγραψε δὲ καὶ πρός
τινας τῶν τὰ δημόσια ἐνεργούντων ἐπιστολὴν ἔχουσαν οὕτως
„Ἀλήθινε τοῦ ψεύδους πρωτάγγελε, σὺ ἀσύνετέ μοι Συνέσιε,
καὶ σὺ ἀγοραῖε Λαχανᾶ, ἤκουσται τῇ βασιλείᾳ μου ἀδικεῖν
ὑμᾶς τὰ πολλά, καὶ ἢ τὸ ἀδικεῖν ἐάσατε ἢ τὸ ζῆν· τὸ γὰρ
ἀδικεῖν ὑμᾶς καὶ ζῆν οὔτε τῷ θεῷ ἀρεστόν ἐστιν οὔτ' ἐμοὶ
τῷ δούλῳ αὐτῷ ἀνεκτόν."

V. 175 Τοσοῦτον δ' ἀπεῖχε τὴν τότε καὶ νῦν περὶ δογμάτων θεί-
ων κρατοῦσαν κατάστασιν ἐπαινεῖν, ἢ περὶ θεοῦ τι λέγειν
καὶ ἀκούειν ἀεὶ καινότερον ἤθελε, καὶ ταῦτα τῆς ἡμετέρας
σοφίας οὐκ ἄκρῳ λιχανῷ γεγευμένος, ὥστε καὶ τῷ νέων Πα-
P. 213 τρῶν Εὐθυμίῳ (μέγας δ' ἐν λόγοις οὗτος ἦν ὁ ἀνὴρ) καὶ τῷ
Κινάμῳ Ἰωάννῃ οὐ μόνον ἐπέπληξεν ἐντὸς τῆς βασιλείου

1. παρὰ] ἐν αὐτοῖς A. 2. ἐσπάνιζεν] ἐδεῖτο A. 5. ὑπουρ-
γῆσαι A. 6. ἀγροτέρων] τῶν χωριατῶν A. 8. δι' ἀλλα-
κτῶν] διὰ μαγγλαβίων B. 10. τοῖς ἐπὶ] τοῖς τὴν ἀπαίτησιν
ποιοῦσι τῶν βασιλικῶν κεφαλαίων B. 13. βασιλείων A, omi-
sis ἔγραψε — ἀνεκτόν. 19. τῆς γραμματικῆς σοφίας μέτ-
χος ὤν B. 22. κιναμώμω A.

supra Alexii imperatoris praefocationem adiuvisse ostendimus, quidam agricolae accusarunt, quod apud se divertisset ac cum servitiis et iumentis suis, omnibus necessariis acceptis, discedens nihil solvisset. quod ubi verum esse comperit, ipsum duodecim plagis fuste castigavit, et ex fisco agricolis longe plus quam quanti erat damnum solvi iussit. scripsit et ad quosdam magistratibus fungentes huiusmodi litteras: „vere mendacii princeps, prudenti meo iudicio imprudens, et tu holitor venalicie, auditum est nostro imperio vos studere iniuriis. enimvero aut iniurias aut vitam relinquite. nam vos iniurios esse et vivere neque deo acceptum est neque mihi servo eius tolerabile."

Tantum porro abfuit ut consuetudinem et tunc et nunc receptam de divinis dogmatibus disputandi probaret, aut de deo novi aliquid vel dicere vel audire vellet (idque cum nostram doctrinam non summis tantum labris attigisset), ut novarum Patrarum episcopum Euthy

σκηνῆς κατὰ τὸ Λοπάδιον διαλεγομένους περὶ τῆς „ὁ πατήρ μου μείζων μού ἐστι" τοῦ θεανθρώπου φωνῆς, ἀλλὰ καὶ κατὰ τοῦ Ῥυνδακοῦ ποταμοῦ ἀκοντίσειν χαλεπήνας ἠπείλησεν, εἰ μὴ παύσαιντο ποιούμενοι περὶ θεοῦ τὴν διάλεξιν. καὶ μὴν κἀκεῖνό γε σημεῖον τοῦ μὴ πάμπαν ἐκτεθηριῶσθαι Ἀνδρόνικον· τοῦ γὰρ λόγου λόγον τιθέμενος οὐ πόρρω τῆς ἀλουργίδος τοὺς πατέρας λόγων ἐτίθετο, ἀλλ' ἐγγὺς ἄγων τοῦ θρόνου καὶ δωρεαῖς διαθάλπων συχναῖς, καὶ τιμῆς οὔκουν ἐλαχίστης μεταδιδούς, ἐδείκνυ ἑαυτὸν καὶ φιλοσοφίαν οὐραναβάμονα μέγα τι χρῆμα οἰόμενον καὶ πλείστου τιμώμενον, καὶ σοφιστὴν ἐγκωμιάζοντα καλλιρρήμονα, καὶ τοὺς νομοτριβεῖς ἄνδρας περὶ πλείστου μάλα τιθέμενον. B

6. Τὴν δέ οἱ τοῦ σκήνους κατάθεσιν ἐς τὸν ναὸν τῶν ἁγίων τεσσαράκοντα μαρτύρων βουληθεὶς ποιήσασθαι ὡς κάλλιστον καὶ κάλλιστον καὶ μεγέθει μέγιστον καὶ περὶ τὸ καίριον καὶ μέσον ἀνεγηγερμένον τῆς πόλεως, ἅπαντα φιλοτίμως τὰ πεπονηκότα μέρη τοῦ τεμένους ὑπέλαβε καὶ τὸ ἀποσβεσθὲν ἀνέθαλψεν ἀγλαόμορφον, τήν τε τοῦ σωτῆρος ἡμῶν εἰκόνα Χριστοῦ, δι' ἧς ὁμιλῆσαί ποτε τῷ βασιλεῖ Μαυρικίῳ λόγος αἱρεῖ, πολυτελῆ περιέβαλε κόσμον, καὶ τὴν πορφυρᾶν μεγίστην πλυνόν, ἧς τοῖς χείλεσι φρικώδεις δύο ἀμφιελίττονται δράκοντες εἰς ὀλκοὺς λορδούμενοι, θαῦμα ἰδέσθαι, ἐκ τοῦ κατὰ τὸ μέ-

5. γε om A. 7. τοὺς πατέρας] τοὺς ἀνθρώπους τοὺς λόγου μετέχοντας καὶ λογογραφοῦντας B. 9. ἐδείκνυεν A. φιλοσοφίαν] σοφίαν A. 11. ἐγκωμιάζοντα] θειάζοντα A. 16. ἅπαντα τὰ διερραγότα τούτου τείχη ἀνεκαίνισε καὶ ἀνιστόρησεν εἰς κάλλος καὶ ὡραιότητα B. 20. κόσμῳ A. πορφύρεον A. πλυνόν] λεκάνην B.

nium, virum eruditissimum, et Cinamum Iohannem, ad Lopadium de illo Christi dicto *Pater maior est me* in suo tabernaculo disserentes obiurgarit, et in Rhyndacum amnem abiecturum minatus sit, ni desisterent. fuit autem illud argumento, non plane efferatum fuisse Andronicum, quod eruditionis rationem habuit; et eruditos non procul a purpura sed prope solium suum collocatos et muneribus frequentibus fovit, et honores eis non minimos habendo, coelestem sapientiam divinarumque rerum doctores, disertos et iurisperitos, magnam rem et summi pretii se aestimare declaravit.

6. Iam quia se in aede pulcherrima et amplissima et in media urbe sita, XL martyrum, sepeliri volebat, omnes eius templi partes ruinosas studiose refecit, et exolescentem pulchritudinem reconciniavit; et Christi servatoris nostri imaginem, per quam olim cum imperatore Mauricio collocutus esse fertur, magnis impensis ornavit; ingens illud porphyreticum solium, cuius labra duo horrendi ser-

C γα παλάτιον κηπίου· παρὰ τὴν αὔλειον μετήνεγκε τοῦ νεὼ κἀκεῖσε τὰ τῆς ὁμευνέτιδος αὐτοῦ μετακεκόμικε λείψανα ἐ[illegible] τῆς τοῦ Ἀγκουρίου μονῆς, ἔνθα πρώην ἐτέθαπτο. ἔξωθε[illegible] δὲ περὶ τὰς ἀρκτῴας καὶ κατ' ἀγορὰν τετραμμένας τοῦ νε[illegible] τῶν ἁγίων τεσσαράκοντα πύλας ἐπὶ μεγάλου πίνακος ἀνέστη[illegible] σεν ἑαυτόν, οὐκ ἐσταλμένον βασιλικῶς οὐδὲ χρυσοφοροῦν[illegible] ὡς ἄνακτα, ἀλλά τινα πόλυτλαν ἐργατικὸν ἐκ καλαίνου β[illegible] φῆς, ἐνδεδυμένον ἀμπεχόνην ἐς γλουτὸν ἀμφισχιδῆ καταβ[illegible] νουσαν, καὶ λευκαῖς κρηπῖσι περιστελλόμενον τοὺς πόδας ἀ[illegible] βαινούσαις εἰς γόνατα, καὶ δρέπανον περικαμπὲς κατέχο[illegible] τῇ χειρί, βριθὺ καὶ μέγα καὶ στιβαρόν, συμμάρπτον τῷ ἐπι-
D κλινεῖ σχήματι καὶ σαγηνεῦον ἐντὸς ἀγαλματίαν μειρακίσκον ἕως φάρυγγος καὶ ὤμων προφαινόμενον, ἐκεῖνα διὰ τῆς εἰκόνος τοὺς παροδεύοντας μυῶν ἀτεχνῶς καὶ διδάσκων στηλῶν καὶ κύρβεων πασῶν ὑψηλότερον καὶ τιθεὶς τοῖς βουλομένοις ὑπόψια, ἅπερ εἶχεν ἐπὶ τῶν ἔργων ἠνομηκώς, τὸν κληρονόμον ἀπεκτονὼς καὶ τὴν ἀρχὴν ἅμα καὶ τὴν ἄκοιτιν ἐκείνου ἑαυτῷ μνηστευσάμενος. ἀλλὰ καὶ ἐπὶ κίονος κατὰ τὸ χαλκοῦν μετέωρόν τετράπλευρον, ἐν ᾧ γυμνοὶ περιβλημάτων μηλοβολοῦσιν ἀλλήλους οἱ Ἔρωτες, ὃ Ἀνεμοδούλιον κέκληται, ἑαυτὸν ἀναστήσειν ἐμελέτα χαλκοῦν, καίπερ τὰς εἰκόνας τῆς βασιλίδος Ξένης τῆς τοῦ βασιλέως Ἀλεξίου μητρός, ἣν διὰ

5. μεγάλου] μεγίστου A. ἀνέστησεν] ἱστόρησεν B. 7. ἀλλ' ὡς ἐργάτην τοῦ θέρους ἐκ γερανέου βαφῆς, φορουῦντα ῥοῦχον σχιστὸν μέχρι καὶ τῶν γονάτων, ἀπὸ δὲ τῶν γονάτων μέχρι καὶ τῶν ποδῶν ἐντετυλιμένον ἄσπρον πανὶν μετὰ λωρίων ἕως κάτωθεν γονατιζόμενον B. 17. ἀπ. τῆς ἀρχῆς καὶ τὴν ἄκ. A. 20. κέκληται] addit B ἔνθα πόρναι γυναῖκες εἶχον τὴν οἴκησιν. 21. καίπερ] καὶ ταῦτα B.

pentes sinuosis voluminibus amplectuntur, mirabile opus', ex hortulo magni palatii in eius templi vestibulum transtulit, ibidemque prioris suae coniugis reliquias ex Ancurii monasterio translatas reposuit. extrinsecus iuxta Septentrionales eius templi fores in maxima tabula statuam suam collocavit, non imperatorio regiove habitu, nec aureo ornatu, sed instar aerumnosi operarii, nigra veste induti, fissa usque ad suras, cum albis ocreis usque ad genua ascendentibus; qui falcem gravem et magnam manu tenens formosissimum adolescentem usque ad humeros et fauces prominentem, velut incurvatus, comprehendat et implicet, qua imagine praetereuntibus clarissime sua facinora depingebat; et quo suis edocebat ut herede imperii occiso sponsam illius sibi matrimonio iunxisset. habuit etiam in animo aeream suam statuam super columna in sublimi aeneo tetrapleuro, ubi nudi Cupidines pomis se invicem petunt, quod Anemodulium vo-

νιγμονῆς τοῦ ζῆν ἀπεξένωσε, πρὸς γεραιτάτην καὶ ῥικνὴν
κταζωγραφῶν μορφήν, τὸν ἐκ τῶν παριόντων καὶ θεωμένων
λαμπρὸν ἐκεῖνο καὶ περικαλλέστατον εἶδος καὶ τοῦ θαυμά-
σθαι ἀξιώτατον ὑποβλεπόμενος ἔλεον, τὰς δὲ πλείους καὶ P. 214
παλείφειν ἐνδοὺς τοῖς ἐθέλουσι, καὶ μετεγγράφειν αὐτὸν ἐν
χήματι βασιλικῷ τῇ Ἀλεξίου μνηστῇ συνιστάμενον ἢ καὶ
αθ' ἑαυτὸν ἰδίᾳ τυπούμενον. ἐπὶ πᾶσιν ἀνεγείρας κατὰ τὸν
εὼν τῶν τεσσαράκοντα μαρτύρων πολυτελῆ οἰκήματα ἑαυτῷ
φώρισεν εἰς ἐνοίκησιν, ἡνίκα ἂν ἀφίκοιτο πρὸς τὸ τέμενος.
ἢ ἔχων δ' οὖν ἐκ τῶν προσφάτων καὶ νεαρῶν αὐτοῦ πρά- V. 176
εων καταπάττειν τοὺς δόμους τῷ τῶν χρωμάτων συγκεραομῷ
ταῖς λεπταῖς καταποικίλλειν τῶν ψηφίδων ἐνθέσεσιν,
ς τὰ πρὸ τῆς βασιλείας ἔβλεψεν ἔργα, καὶ ἦν ἱππηλάσια B
κὲ κυνηγέσια ζωγραφούμενα, κλωγμὸς πτηνῶν, θωϋσμὸς
υνῶν, ἑλαφηβολίαι καὶ λαγῶν θηρεύσεις καὶ χαυλιόδους σὺς
ακοντιζόμενος καὶ ζοῦμπρος διελαυνόμενος δόρατι (ζῶον δὲ
τος τὸ μέγεθος ὑπὲρ ἄρκτον μυθικὴν καὶ πάρδαλιν στικτήν,
ετὰ τοὺς Ταυροσκύθας φυόμενον μάλιστα καὶ τρεφόμενον)
ε βίος ἀγροικικὸς καὶ σκηνίτης καὶ ἑστίασις ἐκ τῶν θηρευ-
ξένων σχέδιος, καὶ αὐτὸς Ἀνδρόνικος μιστύλλων αὐτοχειρὶ

4. τὰς δὲ] ἔδωκε δὲ καὶ ἐπ' ἀδείας εἰς τὰς τῶν βασιλέων ἱστορημένας εἰκόνας ἀπαλείφειν τὰ πρόσωπα αὐτῶν καὶ τὰ γράμματα καὶ γράφειν καὶ χαρακτηρίζειν αὐτοῦ τὴν μορφήν. B. 8. πολυτελὲς οἴκημα A. 9. ἀφίκηται A. 10. μὴ] οὐκοῦν καὶ μὴ ἔχων ἐκ A. 12. θέσεσιν A. 13. καὶ ἦσαν ἐγκράσματα ἀλόγων, κυνήγια πετριτῶν, ζαγάνων ἀναβάσεις, σκύλων ὀγγαρίων πρὸς ἐλάφους ἀπολύσεις καὶ πρὸς λαγωοὺς ἑτέρους κύνας, πολεμίζων μετὰ ἀγρίων χοίρων, καὶ ζοῦμπρον ζῶον καὶ πάρδαλιν, ἅτινα ἐν τοῖς ὄρεσι τῶν κομάνων ἐνέμοντο, καὶ κρέατα ἐξ αὐτῶν κόπτων καὶ ἑψήνων καὶ τρώγων. B. 16. ζοῦμπος A. 17. μυθικὴν] θυμικὴν A.

cant, erigere. imagines Xenae imperatricis, Alexii matris, quam suffocavit, prius ibi depictas, in rugosae aniculae faciem transformavit. commiserationem praetereuntium, si illustrem illam et pulcherrimam formam atque omni admiratione dignissimam spectarent, veritus, plerasque aboleri passus est, et suam imaginem habitu imperatorio aut Alexii sponsae astantem aut seorsim reponi. post omnia, iuxta aedem sanctorum XL magnificas aedes struxit, in quibus, cum templum vellet ingredi, versaretur; et quia recentibus suis factis parietes coloribus aut alborum calculorum interpositionibus adornare non poterat, ad ea convertit animum quibus ante imperium fuerat occupatus. ea erant aurigationes, venationes, strepitus avium, latratus canum, cervorum leporumque venatus, aprorum et zumborum confossio (est autem zumbrus fera, quae apud Tauroscythas potissimum nascitur, et urso et leopardo maior) et vita agrestis in ten-

κρέας ἐλάφειον ἢ κάπρου μονάζοντος, καὶ ὀπτῶν περιφραδέως πυρί, καὶ τοιαῦθ' ἕτερα, ὁπόσα τεκμηριάζειν ἔχουσι βίοτον ἀνδρὸς πεποιθότος ἐπὶ τόξῳ καὶ ῥομφαίᾳ καὶ ἵπποις ὠκύποσι, φεύγοντός τε τὴν ἐνεγκαμένην δι' οἰκείαν ἀβελτερίαν
C ἢ ἀρετήν. ὁ δ' Ἀνδρόνικος καὶ εἰς Δαβὶδ ἀνῆγε τὰ ἑαυτοῦ καὶ κατ' ἐκεῖνον ἔλεγε καὶ αὐτὸς τὰ τοῦ φθόνου ἐκδιδράσκει πάλαι θήρατρα καὶ πρὸς τὴν ἀλλοτρίαν πολλάκις μετασκευάσασθαι. ὑπεξαίρων δ' ἔσθ' ὅπῃ τὰ ἑαυτοῦ, τὸν μὲν καθίσε τῶν ὁρίων τῆς Παλαιστίνης ἄποθεν βραχὺ κατὰ τὴν Σικελα ἔλεγε, καὶ συγκόπτειν τὸν Ἀμαληκίτην μαχαίρᾳ, καὶ γ σχρως ἀποζῆν, ὥστε καὶ τὸν Νάβαλ ἀπεκτονὼς ἦν ἂν ὅτι ο οὐκ εἶχεν ἀνὰ χεῖρας τὸ αἰτηθέν· ἑαυτὸν δὲ δι' ἐθνῶν τ ἑῴων ἁπάντων σχεδὸν ἰέναι, καὶ ἐπὶ πᾶσι τὸ τοῦ Χρισ βαστάσαι καὶ κηρῦξαι ἀποστολικῶς ὄνομα, τιμῶν τε τ ἀνωτάτω μεταλαχεῖν δι' ὧν διήρχετο, καὶ προπεμπόμε ἀπανίστασθαι. καὶ ταῦτα μὲν διεξῄει μετὰ πειθανάγκης ἕκ
D νης, ὁποῖος ἐκεῖνος, καὶ μάλιστα ἢν ἀνδράσιν ὁμίλει λόγ καὶ σοφίας μετέχουσιν, ἔτι τῶν πραγμάτων γαληνιώντων κ ἠρεμαίαν ἐχόντων κατάστασιν.

7. Τὰ δὲ τελευτῶντι αὐτῷ μελετώμενα, ἤδη δὲ κ ἀρχὴν λαμβάνοντα γίνεσθαι, ἐσχάτης ἦν ἀπονοίας ἀποκυ μάτα καὶ παρελήλακότα πᾶσαν ἀπανθρωπίας ὑπερβολή ὁρῶν γὰρ τὰ μὲν τῆς ὑπ' ἐκεῖνον ἀρχῆς σμικρυνόμενα, τοῦ

8. τὰ ἑαυτοῦ] τὰ οἰκεῖα A.

toriis, et convivia ex venatu simplicia, et Andronicus cervinam aut aprugnam suis manibus in frusta secans et diligenter assans, et id genus alia, quae vitam hominis repraesentant arcu gladio et velocibus equis freti, patria sive ob simplicitatem sive virtutem suam exulantis. verum Andronicus fortunam suam cum Davidica comparabat, seque invidiae retia aeque ut illum evitasse multis exiliis actum aiebat. interdum suas res amplificando illum parum a Palaestina Sicelagam pervenisse, et Amalechitam gladio confecisse, et adeo sordide vixisse ut Nabalem etiam occisurus fuerit, quod postulatis non statim annuisset: se vero totum pene Orientem pervagatum ad omnes gentes apostolico more Christi nomen pertulisse et praedicasse, et quocunque transisset, summis affectum esse honoribus, et cum honorifico comitatu recessisse. haec non indiserte commemorabat, praesertim si cum viris eruditis et eloquentibus colloqueretur, rebus adhuc integris et tranquillis.

7. Quae autem postremo instituit et ex parte inchoavit, et extremi furoris erant et omnem crudelitatis immanitatem superabant. nam cum imperium imminui et multitudinem hostium instar hibernis nivibus aucti torrentis et extra ripas effusi obvia quaeque vastare, et

δὲ πολεμίους κατὰ τοὺς ἐξ ὄμβρων πλήθοντας ποταμοὺς καὶ τὰς ὄχθας ὑπερανιόντας τὰ ἐν ποσὶν ἐξερημοῦντας καὶ κατακλύζοντας, κατὰ βραχύ τε τὴν πολιτείαν ἐλευθεροστομοῦσαν καὶ πρὸς ἀποστασίαν ὑποκινουμένην οἷς μὴ φροντιδοκοπεῖται ὑπὲρ αὐτῶν ἀλλ' ὡς εἰς κάρωμα ὕπνου κατενεχθεὶς οὔθ' ὁρᾶν οὔτ' ἀΐειν ἔχει τὰ ὑπὸ τῶν ἐπιστρατευσάντων ἐθνῶν ἀνομούμενα, ὠδίνησέ τε πόνον καὶ ἀνομίαν ἀπέτεκεν, οὐ τόσον οἰκοθεν ὅσον ὑφ' ἑτέρων εἰς τὰ ἄτοπα ἐποτρυνόμενος. P. 215
ἦ δὲ ἦν τὸ μὴ μόνον ὅσους συνείληφεν ἐν φρουραῖς θανάτῳ ὑποδικάσαι, καὶ οὓς μὲν μαχαίραις ἀνελεῖν, οὓς δὲ θαλάσσης ἀκοντίσαι βυθῷ, ὧν δὲ ἀκινάκαις ἀναρρῆξαι τὰς γαστέρας, καὶ ἄλλους ἄλλως ὑπεξαγαγεῖν τοῦ βιοῦν, ἀλλὰ καὶ κατὰ τῶν συναπτομένων τούτοις πρὸς γένος ἠκονηκέναι τὸ ξίφος· „τί γάρ" φησιν „ὄνειαρ, εἰ κόρσης ἐκτμηθείσης μιᾶς πλείονα ἐκφυήσονται κάρηνα, τοῖς δὲ οὐκ ἐπάγει τις τὸν σίδηρον σίζοντα; ἐπαινετέος ἐν τούτῳ μάλιστα ὁ ἡμίθεος καὶ ἥρως Ἡρακλῆς, ὅτι τὸν Ἰόλεων ἐπικάοντα εἶχε καὶ τὸ τῆς ὕδρας παλιμφυὲς ἀφανίζοντα." ἔνθεν τοι καὶ ἐκκλησιάσας τὸ φίλιον ἐκείνῳ σύστημα, καὶ τῶν δικαστῶν ὁπόσοι χρημάτων ὦνιοι καὶ τὴν βασιλικὴν περιπαπταίνοντες τράπεζαν καθάπερ οἱ γῦπες τὰ θνησιμαῖα, ἐκτραγῳδεῖ ὁπόσα ἐπονηρεύσαντο Β Ἰταλοί, καὶ οἵοις κακοῖς περιβάλλουσιν ἐπαρχίας τὰς ἑσπερίας, καὶ ὅσας παρεστήσαντο πόλεις νόμῳ πολέμου· καὶ ἦν οὐκ ἄλλοις τὴν αἰτίαν τούτων ἀνατιθεὶς ἀλλ' οἵπερ ἐκείνῳ V. 177

7. ἀνομούμενα] γινόμενα A. 9. ἦ] τὰ A. 12. ὑπεξαγαγεῖν] ἀποστερῆσαι τοῦ ζῆν A. 14. ἐκτμηθείσης] τεμνομένης A. 19. ἐκείνῳ om A. 23. ὅσας] ὃς A. 24. ἀλλὰ Ῥωμαίοις τοῖς ἐκείνω ἀντίφροσι καὶ ὅσοι A.

subditos paulatim incipere liberius loqui et defectionem spectare animadvertit, quod nullam imperii curam susciperet, sed veluti veterno oppressus hostium grassationes neque videret neque audiret, parturiit laborem et peperit iniquitatem, non tam sua sponte quam aliorum consiliis incitatus; qui monebant ut quotquot in carceribus tenerentur, capitis damnati, alii iugularentur, alii in fundum maris demergerentur, aliorum ventres dissecarentur, alii denique aliis modis e medio tollerentur, imo ut damnatorum cognati quoque eandem gladii aciem sentirent: neque enim quicquam profici, si uno capite resecto plura renascantur nec ferro stridenti tollantur. in ea re maxime laudandum esse heroem et semideum Herculem, quod Iolaum asciverit, qui redivivam hydram exureret. itaque amicorum et mercenariorum iudicum concilio coacto, qui mensam imperatoriam ut vultures cadavera consectabantur, atrocibus verbis commemorat quanta fuerit Italorum improbitas, et quantis cladibus Occidentales provin-

ἀντίφρονες, ὁπόσοι τε τούτοις καθ' αἷμα καὶ εὔνοιαν προσφ-
κείωντο. τούτους γὰρ τὴν Ἀνδρονίκου διψᾶν ἀπώλειαν, καὶ
πάντα κάλων κινεῖν, εἴπως τῆς ἀρχῆς ἐκσφαιρισθείη Ἀν-
δρόνικος καὶ πεσεῖται πτῶμα παγχάλεπον. μὴ ἔχοντας δ
οὖν ὅμως διὰ συνάρσεως ὁμογενῶν σφίσι δοῦναι τὴν ἔφεσι
πέρατι, ἀλλοτρίαν καὶ ὑπερόριον εἰσενεγκεῖν στρατιάν, κα
C ταὐτὸν ἄντικρυς δρᾶν τῷ τῶν ἀκρίδων ἔθνει, αἳ τὸ πῦρ ἐκ
διδράσκουσαι τοῖς ὕδασιν ἀποπνίγονται. „ἀλλ' οὐ μὰ τὸ γ
ρας τοῦτό" φησι „χαιρήσουσιν οἱ φιλεχθροι καὶ πολεμοχ
ρεῖς Ἀνδρονίκῳ, ἀλλ' ὃ παθεῖν Ἀνδρόνικον γλίχονται, τοῦτ' αὖ
πρὸς Ἀνδρονίκου πείσονται. εἰ δὲ τὸ μόρσιμον εἰς ᾅδου δ
ματα ἐφέλκεται καὶ Ἀνδρόνικον, αὐτοὶ καθηγήσονται
ὑπανοίξουσι πρότερον τὴν ὁδόν· εἶθ' οὕτως ἐπιπορευσεῖ
Ἀνδρόνικος." ταῦτ' εἰπών, καὶ τὸ τοῦ Παύλου παραφά
νος „ὥστε οὐχ ὃ θέλω τοῦτο δράσαιμι ἀγαθόν, ἀλλ' ὃ οὐ
λω κακὸν τοῦτο διαπραξαίμην, ἀντιστρατευομένων μοι
ἐναντίων καὶ αἰχμαλωτιζόντων εἰς τὰ παρὰ προαίρεσιν," θε-
D ραπείαν ἐζήτησε τοῦ κακοῦ. ἀράντων δὲ τὴν φωνὴν τῶν ἐκ
τῆς ἐκείνου φατρίας πάντων, καὶ μέγα κραξάντων αἴρειν αὐ-
τοὺς ἐκ τῆς γῆς καὶ φείσασθαι μηδενός, κυροῦται ἡ τῶν
ὅλων ἀφάντωσις, ὅσους τε εἶχε συνειληφὼς ἐν φρουραῖς καὶ
ὅσοι τὴν ὑπεροριαν κατεκρίθησαν, καὶ τὸ θεραπευτικὸν τού-
των καὶ συγγενές. καὶ δὴ τόμος εὐθὺς ἐδέχετο τὰ ὑποτυπού-

1. προσωκείωνται A. 2. γὰρ] γάρ φησι A. 3. εἴπως] ὅπως A. 11. πρὸς Ἀνδρ] παρ' A. πείσονται] παθήσονται B. 12. ἐφέλκεται] κατασπᾷ A. 15. τοῦτο om A. 16. διαπράξομαι A. 17. αἰχμαλωτιζόντων] μεταφερόντων εἰς τὰ ἀθέλητα A.

cias afficiant, quot urbes vi expugnarint. causam earum rerum nonnisi Romanis, qui sibi adversentur, eorumque cognatis et amicis ascribendam esse. eos sitire Andronici interitum, et omnem movere lapidem, ut imperio deturbatus miserrime concidat. quam cupiditatem cum per populares ad exitum perducere nequeant, alienum ex longinquo exercitum accersere, ac locustas imitari, quae flammis evitatis aqua suffocentur. „verum senectutem hanc" inquit „testor, non gaudebunt inimici et hostes Andronici, sed quae in Andronicum moliuntur, ea ab Andronico perpetientur. sin fata ad inferos adigunt etiam Andronicum, ipsi antecedent et viam praeparabunt: sequetur Andronicus." haec locutus, adiectaque Paulina illa sententia „non faciam quod volo bonum, sed malum quod nolo peragam, adversariis contra me militantibus, et ad ea me compellentibus a quibus abhorreo," malorum remedium quaerebat. cum autem coniurati eius magnis vocibus exclamassent tollendos eos e terra ac nemini par-

ενα, ὑπαγορεύοντος τοῦ πρωτασηκρήτις, ἀμφιπονουμένου τοῦ τὲ τῶν δεήσεων, τοῦ δὲ πρωτονοταρίου τοῦ δρόμου ταῖς ωναῖς ἀλαλάζοντος. τὰ δὲ ὀνόματα τούτων καὶ νῦν παείσθω μοι καὶ τῶν καθεξῆς ὁμοίως συμπραττόντων, ὅσοι τὸν ερὶ τοῦ κενοῦ δοξαρίου τρέχοντες ὠρακίων τότε καὶ ὠρρώδουν Ἀνδρόνικον· ὧν πρωτοστάτης ἦν καὶ ταξίαρχος ὁ Ἁγιοχριστοφορίτης Στέφανος, τῷ τοῦ φθέγματος βροντώδει καταδυπῶν τὰ ἀνάκτορα, καὶ καθά τι ῥεῦμα ποτάμιον ὄξυ P. 216 καχλάζων καὶ παρασύρων τὸ δοκοῦν Ἀνδρονίκῳ ὑπεύθυνον. (8) εἶχε δὲ τὰ ὑπομνηματιζόμενα οὕτωσί πως τῆς φροιμιάσεως. „θεόθεν κινηθέντες, καὶ οὐκ ἔξ ὁρισμοῦ τοῦ κραταιοῦ καὶ ἁγίου ἡμῶν αὐθέντου καὶ βασιλέως, ψηφηφοροῦμέν τε καὶ ἀποφαινόμεθα συνοῖσον εἶναι κοινῇ, καὶ ἰδίᾳ λυσιτελὲς Ἀνδρονίκῳ τῷ σωτῆρι Ῥωμαίων, ἄρδην ἀπολωλέναι οἵπερ ὡς αὐθάδεις καὶ στασιώδεις συλληφθέντες φυλακαῖς ἐνείργνυνται ἢ τὴν ἀλλοτρίαν οἰκεῖν ἀφωρίσθησαν, συσχεθῆναι δὲ καὶ τοὺς τούτοις προσήκοντας καὶ καθ' αἷμα συναπτομένους, καὶ θανάτῳ πάντας ὑποβληθῆναι· οὕτω γὰρ ἂν καὶ Ἀνδρόνικον γένοιτο, τὸν ἀγαθῇ τύχῃ Ῥωμαίων τὰ τῆς βασιλείας B σκῆπτρα διέποντα, βραχύ τι γοῦν ἀναπνεῦσαι, ταῖς κοιναῖς φροντίσι βαλλόμενον καὶ τὰς τῶν ἐπιβούλων κακογνωμοσύνας ὑποβλεπόμενον, καὶ αὐτοὺς δὲ τοὺς ἀλλοεθνεῖς Σικελιώτας ναί ποτε παλινῳδίαν, μηδένα ἔτι τὸν αὐτοῖς ὑφηγούμενον

10. εἶχε] ἦσαν δὲ τὰ γραφόμενα ἐν τῷ τόμῳ τοιαῦτα B. 14. ὀλωλέναι τοὺς αὐθ. καὶ στασ. οἳ σ. A. 16. ἢ τὴν] ἔτι γε μὴν τοὺς ὑπερορισθέντας A.

dum esse, in omnes eos qui vel in carceribus tenebantur vel in um acti erant, in omnes eorum cultores et cognatos sententia alis lata est et in libellos relata, protosecretario dictante, libel- supplicum magistro laborante, protonotario Dromi acclamante. m nominibus parcam in praesentia, ut et eorum qui post in odi rebus vanae gloriolae causa aut Andronici metu operas na-, quorum dux et auctor fuit Hagiochristophorites Stephanus, ox quasi tonitru in palatio resonabat, et instar torrentis eos ebat quos suspectos habebat Andronicus. (8) Fuit autem eius huiusmodi exordium. „divinitus impulsi, non iussu magistra- rincipis ac imperatoris nostri, decernimus et pronuntiamus e ca esse, et privatim Andronico Romanorum servatori utile, maces et seditiosi funditus intereant, qui comprehensi in enentur et in exilium acti sunt, eorumque necessarii et co- iantur, et omnes ultimis suppliciis afficiantur. sic enim et s, qui numine propitio imperii sceptra gerit, a publicis sidiarum metu nonnihil respirabit; et Siculi coeptis desi-

ἔχοντας ὁπόσα χρὴ κατὰ Ῥωμαίων ποιεῖν. πάντες γὰρ οὗτοι συσχεθέντες καὶ τοὺς ὀφθαλμοὺς ἐξορυχθέντες ἀμεταθέτως ἔχουσι τῆς κακονοίας, καὶ οὐδείς ἐστι τοῦ λοιποῦ τρόπος σωφρονίσων αὐτούς, μόνη δὲ ἡ τοῦ ζῆν ὑπολείπεται στέρησις, ἣν ὡς τελευταίαν καὶ σώτειραν ἄγκυραν δεῖ ἡμᾶς ἐπιχαλᾶν τοῖς κακόφροσιν, οἳ τοσοῦτόν εἰσι φρενοβλαβεῖς τε καὶ C ἀποτρόπαιοι ὡς πρὸς κέντρα λακτίζειν καὶ μὴ συνιέναι ὅλως ὡς καθ' ἑαυτῶν οἱ λασιόκωφοι τὴν μάχαιραν θήγουσιν." οὕτω μὲν οὖν καὶ τοιαῦτα, ὡς ἐκ πολλῶν ὀλίγα εἰπεῖν, διεξῆλθε τὸ ἄθεσμον ἐκεῖνο θέσπισμα, ἐφεξῆς δ' ὁ τῶν συλληφθησομένων καὶ τεθνηξομένων ἦν κατάλογος. ὑπεδηλοῦτο δὲ καὶ ὁ τρόπος καθ' ὃν ἀποθνήσκειν ἕκαστοι ἤμελλον. ἐγὼ γοῦν 178 καὶ τὰς ἄλλας μὲν τῶν ἀνδρῶν τουτωνὶ πράξεις διὰ θαύματος τίθεμαι καὶ ἀνοσίας παντάπασιν ἥγημαι, τὴν δὲ νῦν ἀρτιγουμένην ἀπόφασιν καὶ λίαν ὑπερεκπέπληγμαι, καὶ θαυμάζω πρὸς τί περατωθησόμενον ταύτην ἐκύρωσαν, ἢ πῶς ποτὲ κρίναντες τὴν ἑαυτῶν μιαιφονίαν προσῆπτον θεῷ, καὶ κίνησιν θεόθεν ἀνερυθριάστως ὠνόμαζον ἣν ὁ ἀρχῆθεν ἀνθρωποκτόνος σκέψιν αὐτοῖς ὑφηγήσατο, ἐξὸν ἑτέρως προοιμιάζεσθαι καὶ μὴ ἀναιδῶς οὕτω καὶ ἀπεριθαμβήτως φθέγγεσθαι, μηδὲ γυμνῇ τῇ κεφαλῇ τὸ θεῖον συκοφαντεῖν ὡς χαῖρον αἵμασεν, ὃ πρώτως εἰς τὸ εἶναι τὸν ἄνθρωπον ἔκτισε μὴ πεποιηκὸς θά-

1. πάντες] οἱ μὲν γὰρ τούτων συσχ. οἱ δὲ καὶ A. 3. τῆς κακονοίας] καὶ πάλιν τῆς προτέρας προθέσεως A. 4. αὐτούς] τοὺς κακοτρόπους A. 5. δεῖ] χρεὼν ἐπ. A. 12. ἕκαστος A. 21. τῇ om A.

stent, ubi neminem habuerint a quo, quemadmodum Romani oppugnandi sint, doceantur. nam cum et ii qui in vincula coniecti et qui oculis privati sunt, consilia improba non referant in melius sed in priore sententia perseverent, nulla ratio superest qua improbi ad sanam mentem reducantur, nisi vitae ereptio, quae ut sacra et salutaris ancora contra vaecordes et dementes est usurpanda; quorum eae sunt intemperiae, ut non animadvertant se contra stimulum calcitrare et gladium contra semet ipsos acuere." haec et huiusmodi alia, ut ex multis pauca referam, nefarium illud decretum continebat. sequebatur eorum enumeratio qui comprehendendi et mox occidendi erant: exprimebatur et modus quo quisque tollendus esset. ego vero cum alia illorum hominum acta demiror et sceleratissima iudico, tum decreto isto obstupesco; neque perspicere possum quid in eo secuti sint, aut quo iudicio suum parricidium deo adscripserint, divinumque motum id impudenter appellarint quod primus humani generis hostis eis haud dubie suggessit, cum aliud sumere principium modestius et probabilius licuisset, atque a contumelia dei abs-

ατον, καὶ οὗ ἐνώπιον φωνὴ αἵματος Ἄβελ βοᾷ, καὶ ὃ διαρ-
ήδην κέκραγε μὴ βούλεσθαι τὸν τοῦ ἁμαρτωλοῦ θάνατον ὡς
ὸ ἐπιστρέψαι αὐτὸν καὶ ζῆσαι. καὶ οἱ μὲν οὕτω παντὸς
πώλειαν καταψηφισάμενοι τὸν σύλλογον ἐκεῖνον διέλυσαν·
ἰνδρόνικος δὲ τὰς ἐπὶ ταῖς πράξεσι ταύταις ταῖς μυσαραῖς
κτιθεμένας δικαστικὰς ψήφους ἀνὰ χεῖρας δεχόμενος ἐφύ-
ατττεν ἐν φωριαμῷ ἀσφαλῶς, οὐκ οἰδ' ὅ τι διανοούμενος,
ἶμαι δὲ τὸ ἐσόμενον προσκοπούμενος καὶ δεδιὼς φόβον ὃς
πῆλθεν αὐτῷ μετέπειτα. συσχεθεὶς γάρ, καὶ λόγους ὧν διε- P. 217
ράξατο παρὰ τῶν συνεληλυθότων εἰσπραττόμενος, ἑαυτὸν
πηλλοτρίου τῶν γενομένων ἐφ' οἷς τινὰς παρελύπησεν ἢ κα-
ώσεσι σωματικαῖς καθυπέβαλε, καὶ τοὺς μὲν δικαστὰς ἔφα-
κε καὶ τὴν γερουσίαν ἀποφαίνεσθαι τὰς τιμωρίας ἃς ὑπέστησαν
αὶ ὁποίας πεπόνθασιν οἱ προσκεκρουκότες αὐτῷ πρὸ τῆς ἀρχῆς
αὶ κατὰ τὴν βασιλείαν αὐτήν, αὐτὸν δὲ ταῖς ἐκείνων γνώ-
αις ὑπηρετεῖν (μηδὲ γὰρ εἰκῇ φορεῖν τὴν μάχαιραν) καὶ χρᾶν
ὴν χεῖρα εἰς πέρας ὧν ἀπεφαίνοντο. τότε δ' οὖν τὴν ἐξενε-
χθεῖσαν ψῆφον πληροῦν ἐπεβάλετο, πρὸς ἣν ὁ υἱὸς αὐτοῦ ὁ
εβαστοκράτωρ ἀπεπήδησε Μανουήλ, εἰπὼν μηδαμῶς συντί-
ᾶσθαι πράξει ἥτις μὴ καθ' ὁρισμὸν τελεῖται βασιλικόν, ὡς B
ὲ ὑποπτεύοντες προαναβάλλονται, καὶ ἄλλως δὲ μὴ ἀνασχέ-
σθαι ὁπωσοῦν ποτὲ ἀπόφασιν οἰκειώσασθαι ὑπὸ κρίμα θανά-
ου τιθεῖσαν σχεδὸν τὸ Πανρώμαιον, καὶ μὴ μόνον ἀφανί-

7. ἐν φωρ.] ἐν τῷ σεντουκίῳ αὐτοῦ B. 8. προσκεπτόμενος A. 12. ἔφασκε] ἔλεγε A. 19. μηδαμῶς] μηδέποτε συγκαταθέσθαι πρᾶξιν τινὰ παρὰ τοῦ δήμου ἐνεργουμένην, ἥτις μὴ μετὰ ὁρισμοῦ ἐκτελεῖται βασιλικοῦ B. 23. σχεδὸν] μικροῦ A.

tinere; qui caedibus haud delectatur, nec mortem fecit, sed hominem ad vitam condidit; in cuius conspectu vox sanguinis Abeli clamat; qui aperte denuntiat se malle ut peccator conversus vivat quam ut moriatur. enimvero illi damnatis omnibus e concilio discesserunt. Andronicus vero iudicum nefarias sententias, haud scio quo consilio, in scrinio suo diligenter asservavit, proviso fortassis imminenti exitio. nam cum comprehensus esset, et a concursu populi facinorum suorum rationem reddere iuberetur, culpam in iudices et senatum transferebat, qui supplicia decernerent in eos a quibus ante imperium et in ipso imperio offensus esset. se vero illorum sententiis inservisse (neque enim frustra gestasse gladium) et manum eorum suffragiis accommodasse. tum autem cum latas sententias executurus esset, filius eius Manuel sebastocrator refragatus pernegavit se consensurum in acta, quae non fiant auctoritate imperatoris, ut ipsi iudices in exordio fateantur. praeterea se nullo modo ea suffragia probaturum, quae pene Romanos omnes ca-

ζοῦσαν ὁπόσοι Ῥωμαίων προήλθοσαν, ἀλλὰ καὶ τοὺς ἐθνῶν οὐχὶ βραχεῖς διαφθείρουσαν· εἰς γὰρ ἄπειρον ἀποτελευτήσειν τὴν τελευτήν, τοῦ μὲν διὰ τόνδε ξυλλαμβανομένου τε καὶ ἀναιρουμένου, κἀκείνου μὴ ἀπόλιδος εὑρισκομένου μηδὲ φύεντος ἀπὸ δρυὸς ἀλλ' ἐκ πατρὸς καὶ μητρός, ἢ γοῦν ἐξ ἀγχιστείας τὸ συναπτόμενον εἰς γένος καὶ τὸ φίλιον ἀναφαίνοντος. καὶ δὴ ἀπὸ διαταγμάτων βασιλικῶν ἀρχὴν δεξάμενον τὸ δικαστικὸν τοῦτο γνωμάτευμα, ἤμελλον ὡς πρόβατα C σφαγῆς εἰς ἓν συνάγεσθαι ἄθροισμα οἱ ἐν διαφόροις ἐπαρχίαις ἐκτοπισθέντες καὶ οἱ ταῖς ὁπουδήποτε καθειργνύμενοι φυλακαῖς, ὥστε ἕκαστον ὑφίστασθαι θάνατον εἰς ὃν ἀφώριστο, εἰ μὴ κατὰ τὸν προφήτην εἰπεῖν τὴν οἰκείαν μάχαιραν ἐπέβαλεν ὁ θεὸς ἐπὶ τὸν ἀποστάτην δράκοντα, τὸν σκολιόν, τὸν ἐν τοῖς ὕδασιν ὑποφεύγοντα τῇ καθύγρῳ ταύτῃ, ὡς ἔδειξε, βιοτῇ, καὶ μηδὲν ὑπὲρ τὰ ὁρώμενα καὶ βίον τὸν ἡδονικὸν φανταζόμενον.

9. Συνέβη δέ τι καὶ ἕτερον εἰς τὴν τοιαύτην αὐτὸν ἐκτραχηλίσαν ἐνθύμησιν. ὁρῶν γὰρ ἁπανταχόθεν στενά, οἱ τὰ πράγματα, καὶ τοὺς ἐκ Σικελίας ὅσον οὐδέπω κατὰ κεφαλὴν αὐτοῦ ἐπιστησομένους καὶ ὡς ἑκατογκέφαλον Τυφῶνα καταπιέσοντας, τοὺς δ' ἐντὸς τὸν αὐτοῦ θάνατον διψῶντας ἐπισκο- D πήν τε ἡγουμένους θεοῦ καὶ λύσιν δοξάζοντας τῶν κακῶν

1. τοὺς om A. 7. δεξαμένων? 12. τὴν οἰκείαν] τὰ τοιάδε θεὸς ἠκύρωσε διαβούλια ἐξ ἀνθρώπων τὸν ἄνδρα θέμενος cod. Wolf. 17. τοιαύτην] τοσαύτην A. 18. ἐνθύμησιν] ἀνοσιότητα A.

pitis condemnent, atque etiam provincialium non paucos perdant: carnificinam enim illam in infinitum grassaturam, alio ob aliud crimen comprehenso et occiso, qui non extorris sit, nec ex quercu natus, sed parentes cognatos affines amicos habeat. caeterum illud iudicum decretum, iussu imperatoris editum, eos omnes qui in diversis provinciis dispersi et ubivis in carceribus erant, in unum locum, velut oves mactationi destinatas in unum macellum, cogebat; ac suas quisque poenas dedissent, nisi, ut propheta loquitur, deus suum gladium in fugitivum draconem, obliquum illum, in aquas refugientem, strinxisset; qui, ut molli et delicata illa vitae ratione indicavit, nihil aliud expetebat, nihil aliud cogitabat nisi vitam voluptariam.

9. Accidit etiam aliud quiddam, quod eum in tantam immanitatem impulit. nam cum undique in artum suas copias cogi, et Siculos iamiam suo capiti imminere et tanquam Typhonem centum capitum oppressuros, cives vero mortem suam sitire et suum interitum divinum beneficium et malorum remedium existimare cerneret,

ἣν αὐτοῦ ἀνάλυσιν ἐκ τοῦ σώματος, καὶ τὴν ἀπὸ τοῦ θείου
ὲ ὑφορώμενος ἐγκατάλειψιν οἷς πολυτρόπως τὸ ὑπερέχον
ἅμασε, καὶ ταῦτα διατεινόμενος ἐκ τῆς αὐλῆς εἶναι Χρι-
τοῦ καὶ τὸ αὐτὸ γένος τοῖς ἐκθλιβομένοις λαχών, πρὸς τὴν
ιὰ θωπείας εἴτε καὶ θεραπείας τῶν ἐναγῶν δαιμόνων πρό- V. 179
νωσιν τῶν μελλόντων ὁρμῇ, καθὰ καὶ ὁ παλαιὸς ἐκεῖνος
αοὺλ εἰς τὰς ἐγγαστριμύθους ὕστερον ἔβλεψεν, ἃς ἐδίωκε
ρότερον τὸ θεῖον ἑαυτῷ ἱλεούμενος. καὶ δὴ τὴν θυτικὴν
αταργηθεῖσαν πάλαι ὁρῶν καὶ τὴν διὰ ταύτης δήλωσιν τῶν
σομένων τεθνηκυῖαν καὶ ἄφαντον ἤδη παντάπασιν, ὡσαύτως
αὶ τὴν δι' ὀρνίθων περιεργίας πάλαι ἀποπτᾶσαν ἐξ ὁρίων
ωμαϊκῶν, ἐνυπνιασμούς τε καὶ κληδονισμούς, μόνους δὲ
νὺς διὰ πλυνῶν καὶ λεκανίδων φενακομάντεις περιλειπομέ- P. 218
νους καὶ τοὺς ὅσοι τὰς τῶν ἄστρων θέσεις περισκοπεύουσιν,
ὐχ ἧττον πλανῶντες ἤπερ πλανώμενοι, τὴν μὲν ἀστρονομίαν
ᾗ τέως ὡς συνηθεστέραν καὶ ἀξυμφανῶς τὰ μέλλοντα ὑπεμ-
αίνουσαν ὑπερέθετο, ἐφίησι δ' ὅλον ἑαυτὸν τοῖς οἵτινες
ενδρῶς ἐν ταῖς πλυνοῖς ὕδασι τεκμαίρονται τὰ ἐσόμενα καὶ
ς οἱά τινας ἀκτῖνας ἡλίου παραυγαζούσας ἰνδάλματα τῶν ἔμ-
ροσθεν ἐκεῖθεν ἐνοπτρίζονται. αὐτὸς μὲν οὖν παρεῖναι τοῖς

1. σώμ. ἐνάγεται παρὰ τῶν οἰκείων εἰς τὴν τῶν ἐσομένων πρόγνωσιν δι' ἐργασίας ἀποτροπαίου, καίπερ ταῖς τοιαύταις πράξεσι μηδ' ὅλως πρότερον προσέχων τὸν νοῦν ἀλλ' ὡς ἀθεμίτους ἀποστρεφόμενος, καὶ δὴ τὴν θυτ. cod. Wolf. 4. πρὸς τὴν] διὰ δαιμονικῶν πράξεων πρὸς λεκανομαντείας ὁρμῇ B. 8. θυτ. πλείστοις ἔτεσι κατ. ὁρῶν A. 15. τὴν μὲν τῆς ἀστρονομίας πράξιν ὡς δυσκόλως τὰ μέλλοντα λέγουσαν ταύτην ἐῶσι, τὴν δὲ διὰ τοῦ ὕδατος λεκανομαντείαν τὴν διὰ τῶν ἀκτίνων τοῦ ἡλίου ἐνεργουμένην ἐν τοῖς ὕδασιν ἐνέδωκε γενέσθαι B. 17. τοῖς ἀμυδρῶς ἐν ὕδασι τεκμαιρομένοις A. 20. ἐνοπτρίζονται] λαμβάνουσιν A.

praetereaque se propter multiplices procerum caedes a deo desertum indicaret, quamvis se ad Christi mandram pertinere affirmaret, iisdemque elementis constaret quibus ii quos extirpabat, ad futurum per noxiorum daemonum cultum cognoscenda se convertit, ut et Saulus olim ad engastrimythos tandem abiit, quos ante placandi numinis gratia pepulerat. nam cum aruspicinam ante plurimos annos obsolevisse et penitus abolitam esse, auguralem item superstitionem, ut et somniorum et ominum interpretationem, iam olim e Romanis finibus avolasse, solos vero eos impostores, qui e pelvi divinant, et qui astrorum positus rimantes aeque fallunt ac falluntur, superesse, tum quidem astrologiam ut magis familiarem et futura obscurius innuentem seposuit, seque totum permisit iis qui futura

τελουμένοις ἀπείπατο, ἐκκλίνων, ὡς ἔοικε, τὴν κατίλον φήμην, ἢ τὰ ἐν κρυπτῷ δρώμενα διορᾷ καὶ τίθησι τοῖς ἅπασιν
B ἔκφορα, ἀνατίθησι δὲ τὴν μυσαρὰν ταύτην νυκτεργασίαν τῷ Ἁγιοχριστοφορίτῃ Στεφάνῳ, οὗ πολλάκις ἐμνήσθημεν. ὁ δὲ τὸν Σὴθ παραλαβών, ἐκ βουπαιδος τετελεσμένον τὰ τοιαδὶ καὶ τούτων ἕνεκεν ἐκκοπέντα τὰς κόρας παρὰ τοῦ βασιλέως Μανουήλ, ὡς ἐν τοῖς περὶ ἐκείνου λόγοις εἰρήκαμεν, ἐρώτησιν τίθησι δι' ὧν ἔδρασεν (ὅσα ἐμοὶ μὲν γνῶναί τε καὶ εἰπεῖν οὐχ ἡδύ, μαθεῖν δ' ἑτέρωθεν ἔξεστι τοῖς βουλομένοις) εἰδέναι ὅς ἐστιν ὁ μετὰ τὸν βασιλέα ἄρξων Ἀνδρόνικον ἢ καὶ παραλύσων αὐτὸν τῆς ἀρχῆς. τὸ δὲ πονηρὸν ἀποκρίνεται πνεῦμα, ἢ μᾶλλον ἀμυδρῶς ὡς ἐν ὕδασι, καὶ τούτοις θολεροῖς, διαχαράττει τῶν γραμμάτων τινὰ Ἰσαάκιον ἐννοεῖν ὑπεμβάλλοντα, οὐχ ἅπαν ξυνθὲν τὸ ὄνομα, ἀλλὰ σίγμα προϋποθέμενον ὁποῖον τὸ τῆς σελήνης ἡμίτομον, καὶ τούτου ὄπισθεν
C διατυπῶσαν ἰῶτα, εἰς τὸ ἀξυμφανὲς ἄγον ἐντεῦθεν τὸ μάντευμα καὶ οἷον τοῦ ἐσομένου προκέντημα, ἢ ἀληθεστέρως εἰπεῖν, ὃ μὴ ἀκριβῶς ἠπίστατο, τοῦτο τῇ ἀσαφείᾳ ὑπομελαῖνον τὸ πολυμερὲς τὴν κακίαν νυκτινόμον δαιμόνιον, τὸν τοῦ ψεύδους ἐκτρεπόμενον ἔλεγχον. ὥστε καὶ Ἀνδρόνικος Ἴσαυρον ὑπετύπασεν, ἐξ ὧν ἤκουσε, τὰ ὀφθέντα διασημαίνειν, καὶ

5. τετελεσμένον] πεπαιδευμένον A. 12. μᾶλλον] μάλιστα A. 13. διαχαράττει] παραδείκνυσι τῶν πρώτων γρ. A. 14. σίγμα προϋποθέμενον A: vulgo δὲ προφῆναι. B σῆμα γράμμα δείξας καθὼς φαίνεται ἡ σελήνη ἐν τῇ ἀποχύσει αὐτῆς καὶ ὄπισθεν τούτου ἰῶτα. 21. σημαίνειν A.

ex aquis quasi per caliginem coniiciunt, et imagines futurarum rerum velut ex umbra solarium radiorum consectantur. ac ipse quidem iis nocturnis sacris interesse noluit, metu famae, ut arbitror, quae ea quae in occulto fiunt perspicit et omnibus enarrat. sed nefarium illud arcanum Hagiochristophoritae Stephano, cuius saepe mentionem fecimus, mandat. is vero Setho adhibito, qui ab ineunte aetate istiusmodi oraculis deditus oculos propterea Manuelis imperatoris iussu amiserat, ut supra exposuimus, certo ritu (quem mihi nec scire nec explicare iucundum est, et aliunde petere licet) percontatur quis post Andronicum sit imperaturus aut imperium ei erepturus. respondet malus genius, ac potius obscure ut in aquis, iisque turbidis, aliquot primas litteras, integro nomine non expresso, designat, unde Isaacius intelligeretur: sed primum ostensa littera S instar dimidiatae lunae, ac deinde subiuncta littera I; ut oraculum esset obscurius, et fati veluti stimulus; aut ut verius dicam, quod non satis norat nocturnum illud et infinitae improbitatis daemonium, perplexitate involverat, ne argui mendacii posset. itaque Andronicus

ῆτον εἶναι ἰσχυρίζετο τὸν Κομνηνὸν Ἰσαάκιον, ὃς τῆς Κύ-
ρου κατετυράννευσε καὶ ὃν ἐνήγετο ὑποπτεύειν ἐνδελεχῶς
ς διάδοχον αὐτῷ τῆς ἀρχῆς, ἐπειδὴ καὶ Ἰσαυρίας ἀπάρας
ς Κύπρον ἀφίκετο, κακοεργὸς ὡς οὔπω τις ἕτερος καὶ φθο-
ποιὸς Τελχὶν καὶ θάλασσα πελαγίζουσα συμφορὰς ἢ γοῦν
ρινὺς ἐπιμανεῖσα τοῖς πρώην εὐδαίμοσι τῆς νήσου ταύτης
ικήτορσι· συμπαθητικῶ γὰρ ἐν ῥήμασι τοῖς ἐν πράγμασι D
επειραμένοις τοῦ κοινῆ συμπεσόντος ἐκείνοις κακοῦ. ἀγασά-
ενος δ' Ἀνδρόνικος τὸν χρησμόν, „μὴ ἐρώτα" εἶπε „μόνον τὸν
ιαδεξόμενον, ἀλλὰ πρόσθες καὶ τὸν καιρόν." γενομένης οὖν
αὶ περὶ τοῦ καιροῦ ἐρωτήσεως, ἐμπεσὸν καὶ ψοφῆσαν τῷ
ὰτι τὸ ἀερικὸν καὶ γεωχαρὲς πνεῦμα πεφοίβαστται δι' ἐπαρμά-
ων, ὁποῖα μὴ ἐκφαίνειν χρεών, ὡς ἐντὸς τῶν ἡμερῶν τῆς
ψώσεως τοῦ σταυροῦ· ἦν δὲ ἀρχόμενος ὁ Σεπτέμβριος μήν,
τε ταῦτα ἐγίνετο. ὡς δὲ ἠχηκόει καὶ τὰ περὶ τῆς δευτέρας
Ἀνδρόνικος πεύσεως, ἀηδές τι καὶ διεψευσμένον μειδιάσας
αὶ ἀτεχνῶς Σαρδόνιον, καὶ εἰπὼν ὡς λῆρος ὁ χρησμὸς οὗ-
ος (ποῦ γὰρ δυνήσεται Ἰσαάκιος Κυπρόθεν καταπλεῦσαι διὰ
ιστρίων πάνυ τι τουτωνὶ ἡμερῶν καὶ καθελεῖν αὐτὸν τῆς ἀρ- P. 219
χῆς;) οὐδ' ὅλως προσέσχε τοῖς εἰρημένοις. φήσαντος δὲ τοῦ
ἀπὸ Τυρᾶ Ἰωάννου (ἦν δ' οὗτος κριτὴς τοῦ Βήλου παρ' Ἀν-
δρονίκου προβεβλημένος, καὶ θερμὸς διὰ τοῦτο τῶν αὐτοῦ V. 180
θελημάτων ὑπηρέτης) ὡς δεῖ συλληφθέντα ἐξ ἀνθρώπων γε-

13. ἐμφαίνειν A. 16. πεύσεως] ἐρωτήσεως A. 20. δὲ τοῦ] δὲ τῶν παρεστώτων τινός, ἦν δ' οὗτος ὁ ἀπὸ τυρᾶς Ἰωάννης κρ. A.

as Isaurum significare putabat, et eum esse affirmabat Isaacium
omnenum, qui Cyprum per tyrannidem oppressit; eumque perpetuo
uspectum habebat ut imperii successorem. nam ex Isauria in Cyprum
enerat homo maleficentissimus, perniciosus Telchin, mare calamita-
bus exaestuans, et atrox furia in beatos ante insulares crudeliter
assata. nam scriptis eos miseror, qui ipsis factis publicum illud
fortunium sunt experti. Andronicus vero miratus oraculum „non
odo" inquit „de successore interrogato, sed tempus etiam adiicito."
cta etiam de tempore quaestione, aerius ille et terrestris spiritus,
minibus quae proferri nefas est evocatus et cum strepitu in aquam
apsus, intra exaltationem crucis respondit. haec autem initio Se-
mbris acta sunt. secundo etiam responso audito, cum insuavi et
so ac plane Sardonio risu „vanum" inquit Andronicus „est istud ora-
lum. qui enim Isaacius intra tam paucos dies Cypro advenire meque
perio evertere poterit?" eaque verba penitus neglexit. cum autem
annes Tyranus, Beli iudex ab Andronico designatus, eaque de

νέσθαι τὸν Ἰσαάκιον Ἄγγελον, μήπως εἰς τοῦτον ἀφορ[illegible] τὰ τοῦ μαντεύματος, αὐτοὶ δὲ τὰ πόρρωθεν φαντάζονται τὰ ἐν ποσὶν ὑπερβαίνοντες, οὐδ' οὕτω τῷ χρησμῳδήματι ἔθετο. τοὐναντίον μὲν οὖν καὶ μωκίαν κατέχεε τοῦ ἀπὸ Τυρᾶ, εἰ τοιαῦτα ὅλως φαντάζεται Ἰσαακίου ἕνεκα τοῦ Ἀγγέλου, ἔξον- 5
θενῶν ἅμα ἐς μαλακότητα ἤθους τὸν ἄνδρα καὶ πρὸς οὐδὲν
B κατόρθωμα τοῦτον ἐνδέξιον εἶναι διατεινόμενος· ἤγγιζε γὰρ τὸ μόρσιμον, καὶ ἦν τὸ θεῖον αὐτοῦ συνετώτερον.

10. Πλὴν θερμουργὸς ὢν ὁ Ἁγιοχριστοφορίτης Στέφανος, καὶ τοῦ κυρίου βασιλέως παντοίως κηδόμενος, τὸν Ἰσαά- 10
κιον Ἄγγελον προσέθετο συλλαβεῖν καὶ πρῶτα μὲν ἐνεῖρξαι φυλακῇ, εἶτα καὶ θανάτῳ ὑπαγαγεῖν ᾧ ἂν Ἀνδρόνικος δοκιμάσειεν. οὐκοῦν εἰς τὴν οἰκίαν Ἰσαακίου παραγενόμενος, ἐγγὺς οὖσαν τῆς μονῆς τῆς Περιβλέπτου, περὶ δείλην τῆς ἑ- 15
δεκάτης τοῦ Σεπτεμβρίου μηνὸς τοῦ ἐξαχιλιοστοῦ ἑπτακοσιο-
C στοῦ ἐνενηκοστοῦ καὶ τετάρτου ἔτους, καὶ τὴν αὔλειον εἰσελ-
θὼν ἐπέταττεν Ἰσαακίῳ κατελθεῖν καὶ ἕπεσθαί οἱ ἔνθα ἂν προάγῃ. τοῦ δὲ ὡς εἰκὸς ἀναβαλλομένου, ὅτι καὶ μόνον ὀφθεὶς ἐκεῖνος κακὸν ἔσχατον συλλελόγιστο, ὁ δὲ καὶ βίαν προσ-
επῆγε, καὶ τοῖς συνοῦσιν ἐπετίμα μὴ καὶ πρὸς τὴν πρώτην
ἀναβολὴν ἁπτομένοις αὐτοῦ τῶν τριχῶν καὶ λαζομένοις ἐκ

4. ἀπὸ Τυρᾶ] εἰπόντος A. 19. προσῆγε A. 20. μὴ] π[illegible] ὡς εἴδετε αὐτὸν μὴ προθύμως ἐρχόμενον, οὐκ ἀπήρατε αὐτ[illegible] ἀπὸ τῶν τριχῶν καὶ ἀπὸ τῶν γενείων κουντοῦντες αὐτὸν κα[illegible] κέφαλα καὶ τὴν σκάλαν κατεβιβάσατε, ἵνα εἰς φυλακὴν εἰσ[illegible] χθῇ B. 21. λαζομένοις] συνέχουσιν A.

causa cupiditatum eius fervidus minister, dixisset Isaacium Angelu[illegible] e medio tollendum esse, ne forte oraculo ad illum pertinente ip[illegible] longinqua imaginarentur, iis quae ante pedes essent neglectis, [illegible] sic quidem divinationi assensus est; ac potius hominem derisit, qu[illegible] tale aliquid de Isaacio Angelo suspicaretur, quem ut mollem et ignavum nec ad ullam rem gerendam idoneum contemnebat. nam fata urgebant, et deus utique illo prudentior erat.

10. Caeterum Hagiochristophorita Stephanus, homo impiger, quovis modo domini et imperatoris sui saluti consultum volens, Isaacium Angelum comprehendere statuit, ac primum in custodiam dare, deinde Andronici arbitratu occidere. igitur aedes Isaacii, quae prope Periblepti monasterium sunt, XI Septembris anno sexies MDCCLXXXIV vesperi ingressus Isaacium descendere ac se sequi iussit. illo vero cunctante, ut fit, et solum conspectum eius extremum malum iudicante, vim adhibuit; et ministros suos increpavit, quod non statim in cunctatoris capillos et barbam involantes praecipitem abreptum et per ignominiam pulsatum in carcerem a se monstratum

ῦ γενείου καὶ ἀτίμως τοῦ δωματίου κατάγουσιν καὶ ἀπά-
ουσιν ἐπὶ κεφαλὴν ὠθούμενον καὶ τυπτόμενον εἰς ἣν ἂν αὐ-
ς καθηγήσηται κάθειρξιν. καὶ οἱ μὲν ὀπαδοὶ πρὸς τοῖς ἐπι-
ταγμένοις ἦσαν, ὁ δ' Ἰσαάκιος τὴν θήραν ἰδὼν ἄφυκτον καὶ
περεξάλυκτον τὴν σαγήνην ἣν ἐφήπλωσεν ὁ ἐπελθὼν ἐκείνῳ
παλιεύς, καὶ ἤδη συνέχουσαν, οὐ δειλανδρεῖ οὔτε μὴν φι- D
ψυχεῖ, ἀλλ' ὡς τεθνηξόμενος προτίθεται μαχέσασθαι, εἴ
ως οὐχὶ τεθνήξεται, ἢ μᾶλλον μὴ ἔχων ἄνεστα κροαίνειν ὡς
ἀκοστήσας Ὁμήρειος ἵππος καὶ ποδὶ κατὰ πεδίων ἐλευθέρῳ
μέρεσθαι (ἡ γὰρ ἅρπη ἤδη ἐτέτατο καὶ ἡ σύλληψις οὐκ ἦν
υσχερὴς) μιμεῖται τὸν πολεμιστήριον, καὶ τὸ οὖς ἀναστήσας
ὡς πρὸς σάλπιγγα ἠχοῦσαν τὸ ἐνυάλιον καὶ φρῖξας κόμην
τὴν ἐπαυχένιον καὶ φριμάξας ὁμόσε χωρεῖ καταφρονητὴς ξι-
φῶν, ὑπερόπτης Ἄρεος, ἀπειλῶν οὐδ' ὁπωσοῦν ἐμπαζόμενος.
ᾐμέλει καὶ ὡς εἶχε τὸ ξίφος σπασάμενος (εἶχε δὲ ἀπερικα-
λύπτως τῆς κεφαλῆς, τὸ δὲ σῶμα λωπίῳ διχρώμῳ συνεῖχε
περὶ τὴν ἰξὺν καταβαίνοντι, ἔκτοτε δὲ διαιρουμένῳ διχῇ)
καὶ τὸν ἵππον ἀναβὰς τὴν χεῖρα ἀνατείνει ξιφήρη κατὰ τῆς
τοῦ Ἁγιοχριστοφορίτου κεφαλῆς. ὁ δὲ τὴν Ἰσαακίου ὁρμὴν
πτοηθεὶς ἐκξιφισαμένου καὶ θανατῶντος προδήλως, μεταστρέ-

4. ὁ δ'] ἰδὼν δὲ ὁ Ἰσαάκιος ὡς ἐντός ἐστι τῶν δικτύων ὧν ὁ ἁγιοχριστοφορίτης ἐφήπλωσε καὶ οὐ δυνατόν ἐστιν γλυτῶσαι, οὐ δειλιᾷ οὐδὲ ὀλιγωρεῖ, ἀλλὰ προθυμοποιηθεὶς ἔδωκεν ἑαυτὸν μαχεσθῆναι πρὸς θάνατον, καὶ ἐκ τούτου συμβήσεται ἴσως τὸν θάνατον ἐκφυγεῖν. τὴν σπάθην οὖν λαβὼν ἣν πλησίον αὐτοῦ ἔκειτο, ὁρμᾷ καὶ' αὐτῶν. ἔτυχε δὲ τότε ἀσκεπῆ ἔχων τὴν κεφαλήν, φορῶν ῥοῦχον σχιστὸν ἐκ χρωμάτων δύο. διαῤῥοήσας τοίνυν τούτους καὶ εἰς ἄλογον ἀναβὰς κατὰ τῆς τοῦ ἁγιοχριστοφορίτου ἐκτείνει κεφαλῆς. ὁ δὲ τὴν σπάθην ἰδὼν καὶ φοβηθείς, ἔστρεψε τὸ μουλάριον ὅπερ ἐκαβαλλίκευε, τῆς πόρτης βουλόμενος ἐξελθεῖν. ἀλλ' οὔπω ἐξῆλθε τῆς πόρτης, καὶ κρούει τοῦτον κατὰ μέσον τῆς κεφαλῆς καὶ διαχωρίζει τοῦτον μέσον μέχρι καὶ τοῦ στήθους. καὶ ἐκεῖνον μὲν καταλιμπάνει κείμενον καὶ λακταρίζοντα ἐν τῷ ἰδίῳ αἵματι B.

cerent. quibus iussa executuris, Isaacius, qui se iam intra casses illo extensos esse cerneret, et metu et vitae cupiditate abiecta, quo modo mortem evitaret, vel potius quia fuga undique interesse erat nec usquam elabi poterat, fortiter pugnare instituit; et erat nudo capite, bicolore tunica ad lumbos descendente ac deinbifariam divisa indutus, conscendit equum et stricto ense in giochristophoritae caput ruit. is Isaacii impetu aperte in caedem tis territus calcaribus mula subditis fugam molitur: sed antequam ta egrederetur, letalem Isaacius plagam ei infert, calva per me-

ψας τὴν ἡμίονον ᾗ ἔποχος ἦν, καὶ συχνὰ κεντρίζων τὴν ἡμίκερκον τῆς ἐξόδου ἅπας γίνεται. ἀλλ' οὔπω ἀκριβῶς τὴν πύλην διεληλύθει, καὶ ὁ Ἰσαάκιος καιρίαν κατάγει καὶ πλήπει κατὰ μέσον τὸ κρανίον τὸν δείλαιον. καὶ διχῇ διελὼν ἐκεῖνον μὲν ἐᾷ κύρμα προκεῖσθαι κυσίν, ὡς βόσκημα σφαγιάζοντα καὶ τῷ ἰδίῳ παλυνόμενον αἵματι, αὐτὸς δὲ τῶν ἐκείνου
P. 220 ὀπαδῶν ὃν μὲν διαθροήσας καὶ γυμνῷ μόνῳ τῷ ξίφει, ἑτέρου δὲ τὸ ὠτίον ἀφελόμενος καὶ ἄλλον ἄλλοσε διαστήσας, ὡς ἐπὶ τὰ σφῶν ἕκαστον ἀπαλλάσσεσθαι, ὅλῳ ῥυτῆρι πρὸς τὸν μέγαν ἵεται νεών, διὰ τῆς λεωφόρου μέσης καὶ τῆς ἀγορᾶς διιὼν καὶ πᾶσι διαπρυσίως φθεγγόμενος ὡς διεχρήσατο τῇ σπάθῃ ταύτῃ (ἔτι γὰρ γυμνὴν ἔφερε τῇ χειρὶ) τὸν Ἁγιοχριστοφορίτην Στέφανον. καὶ ὁ μὲν ὡς εἶχε τὸν θεῖον εἰσιὼν ναὸν ἄνεισι τὸν ἀνάσταθμον, ὃν οἱ φονεῖς ἀνερχόμενοι τὸ οἰκεῖον ἀνακεκαλυμμένως διατρανοῦσι πλημμέλημα, τὴν ἐκ τῶν εἰσιόντων τε καὶ ἐξιόντων τὸ ἱερώτατον τέμενος αἰτοῦντες συγχώρησιν· τὸ δὲ πλῆθος τῆς πόλεως ὃ μὲν αὐτοψεὶ τὸν
tos infecta re dimittere non posset, annuit se pacem pecunia redempturum, quae res ad id usque tempus facta non erat. et ut imperii Romani opes ostentaret atque exaggeraret, rem aggressus est temporibus minime consentaneam, sed ab officio et decoro alienissimam et Romanis prope ridiculam. nam in festo natalis Christi et ipse gemmatam vestem induit, et reliquos omnes auratas et laticlavi vestes induere iussit. quo spectaculo Alemanni adeo non obstupuerunt, ut eorum cupiditas illo splendore Romanorum magis etiam inflammaretur, et Graecos ut ignavos homines et servilibus deliciis deditos quamprimum oppugnandi occasionem optarent. cum autem astantes Romani eos hortarentur ut gemmarum splendorem, quibus imperator instar prati nitebat, aspicerent et media bruma veris suavitatem oculis perciperent, negabant Alemannos talia spectacula desiderare, neque muliebria ornamenta admirari solere, quae fucis flammeis, inau-

τοῖς ἀνδράσι διαφερόντως ἀσπάζεται." ἀλλὰ καὶ Ῥωμαίους μορμολύττοντες „νῦν ἱκάνει καιρὸς" ἔλεγον „μεθαρμοσθῆναι τῶν γυναικωδῶν ἐμπορπήσεων καὶ σιδήρῳ περισταλῆναι ἀντὶ
C χρυσοῦ. εἰ μὴ γὰρ τὰ τῆς πρεσβείας λήψονται πέρας καὶ πρὸς τὸ τοῦ κυρίου σφῶν καὶ βασιλέως συμβαῖεν Ῥωμαίοις βούλημα, ἀνάγκη τις ἔσται πάντως διὰ μάχης ἀνθρώποις χωρεῖν οἵτινες οὐ λίθοις ὡς λειμῶνες περιανθίζονται, οὐδ' οἰδαίνονται πρὸς ἦθος ἀγέρωχον μαργάρων σφαιρώμασιν πρὸς φῶς διαγελώντων σελήνης, ἢ ταῖς ἐν θυάσοις μεθύουσι λίθαξιν, αἳ ὡς ἀλαζὼν ὄρνις ὁ Μηδικὸς πορφύρᾳ καὶ χρυ-
10 σῷ περιχρώζονται, ἀλλ' Ἄρεος ὄντες τρόφιμοι θυμοῦ μὲν πυρὶ τοὺς ὀφθαλμοὺς ἐρυθραίνονται τοῖς τῶν λίθων ἐπίσης ἀκτινώδεσιν, ἱδρῶτας δὲ θρομβοῦντες ἐν τῷ μογεῖν πανημέρια ὑπὲρ στιλπνότητα μαργάρων αὐτοῖς καλλωπίζονται." ἠρίθμουν δὲ καὶ τὰ ὑπὲρ εἰρήνης αἰτούμενα χρήματα εἰς
15 D χρυσίου πεντήκοντα κεντηνάρια καθ' ἕκαστον χρόνον διδόμενα. πρὸς ἅπερ ὁ βασιλεὺς ἀπαυδῶν πρέσβιν ἐς τὸν ῥῆγα πέπομφε τὸν Φιλοκάλην Εὐμάθιον, ἔπαρχον ὄντα τῆς πόλεως. οὗτος δὲ πλούτῳ ὑπὲρ τοὺς τότε κομῶν ἑκόντως ὑπέδυ τὸν πρεσβευτήν. ἀμέλει καὶ δεῖται τοῦ βασιλέως μετὰ τῶν
20 ἐπαρχικῶν παρασήμων ἐνδοθῆναί οἱ διαπρεσβεύσασθαι. καὶ βασιλεὺς ἐφόδιον ὅπερ ἤτησε περιχαρῶς αὐτῷ παρασχόμενος

2. post μορμολύττοντες B σπουδαίους μόνον ὄντας εἰς τὴν τῶν λιθαρίων καὶ ἱματίων ἐξόμπλησιν. 9. πρὸς φῶς] ἕνεκε φεγγάριν B. ταῖς εὐθύασι A. an ταῖς ἀμεθύσοις? B certe ἀντὶ ὧν βλέπετε λιθαρίων καὶ μαργάρων καὶ λίθων ἀμεθύσων. 21. καὶ ὁ βασιλεὺς ἐνέδωκε, καὶ τὴν ἅπασαν οὗτος ἔξοδον τοῦ ἀποχρισιαρίου ἐκ τοῦ οἰκείου ἐξωδίασε πράγματος B.

ribus radiantibus viris impense placere studeant; ac ut Romanis terrorem incuterent, nunc tempus instare aiunt, ut muliebribus ornamentis sepositis aurum ferro commutent. nam si legatio foret irrita, nec imperator regis sui et domini postulatis annueret, necesse eos habituros pugnare cum hominibus qui non gemmis ut prata nitescant, neque rotundis margaritis intumescant aut amethystis purpurae et auro intertextis pavonis instar glorientur, sed qui Martis alumni irae flamma oculos suffusi non secus quam gemmae radient, et totos dies sudorem fundant margaritis splendidiorem. recensebant etiam pecuniam, quae pro pace postularetur, esse auri centenarios L quotannis pendendos. quam summam cum se imperator solvere posse diffideret, Eumathium Philocalem praefectum urbis legatum ad regem mittit; qui cum opibus caeteros superaret, ultro id munus subiit, imperatore exorato ut sibi cum praefecturae insignibus legationem obire concederetur. imperator vero viatico quantum postularat libenter dato,

οἰκείοις ὄψωνίοις τὴν προκειμένην παρῆκε στείλασθαι. ὅθεν
ἐποφθεὶς καινός τις καὶ ἔξαλλος πρεσβευτὴς οὐ μόνον οὐδέν
τι παρὰ τοὺς πρότερον πρέσβεις τετίμητο, ἀλλὰ καὶ γέλων
ὤφλε τῷ ἀήθει τοῦ περιβλήματος. ἐπεὶ δὲ τὰ τῆς εἰρήνης
ἕνεκα δοθησόμενα χρήματα εἰς δέκα πρὸς τοῖς ἓξ χρυσίου
περιέστησαν κεντηνάρια, ὃ μὲν Φιλοκάλης τὴν τούτων ἀπο-
στολὴν κατὰ Σικελίαν ἐπέμενε προσδοκῶν ἔνθα τῷ ῥηγὶ συνε-
γένετο, βασιλεὺς δὲ φάσκων ἀπορεῖν χρημάτων τάς τε χώ- P. 308
ρας ἐφορολόγει, τὸ καλούμενον εἰσπράττων Ἀλαμανικόν, τότε
καινισθὲν πρώτως, καὶ τὸ τῆς πόλεως ἐκκλησιάσας πλήρωμα,
τό τε γερουσιάζον καὶ ὅσον τοῦ βήματος τρόφιμον καὶ ὅσον εἰς
διαφόρους τέχνας καὶ ἐπιστήμας μεριζεται, ἔρανον ἀπῄτει γενέ-
σθαι καὶ ἀπόδασμά τι καταθέσθαι τῆς οὐσίας ἕκαστον. ὁρῶν
δὲ ὡς οὐδέν τι περαίνει ἀλλ' εἰκῇ τὰ τοιαῦτα μέτεισι, κενο-
λογῶν ἀτεχνῶς, καὶ τοὺς πλείους δὲ κραυγάσους καὶ στα- V. 253
τιώδεις εὑρίσκων οἷα μηδαμῶς ἀνεκτὰ ἡγουμένους τὰ φορ-
τικὰ ταῦτα καὶ ἀήθη ἐπιτάγματα, ὑπό τινων δὲ καὶ λογι-
στευόμενος ὡς τὰ κοινὰ κατασπαθῶν καὶ τοῖς συγγενέσι τὰς
ὑπαρχίας διανειμάμενος ἀχρείοις οὖσι πᾶσι καὶ ἀπεσβεσμέ- B
νοις τοὺς λύχνους τοῦ σώματος, τῆς μὲν προθέσεως ταύτης
μεθ' ὅλης συντονίας ἀπῆρε, μικροῦ μηδ' αὐτὸς εἶναι διατει-
νόμενος ὃ τὸ σκέμμα τότε εἰσενεγκάμενος, ἑτέραν δὲ τραπό-
μενος ᾐτεῖτο τῶν χρυσέων καὶ ἀργυρέων ἀναθημάτων ὁπόσα

2. ἔξαλλος] ξενόχροος ἀποχρισιάριος B. 8. τάς τε] κατάθεσιν εἰς τὰς χώρας αὐτοῦ ἐποίησε B. 23. τῶν χρυσέων] τὰ σκεύη τὰ περιττὰ τῶν ἐκκλησιῶν B.

nis eum sumptibus propositum iter conficere passus est. ita ille insolitus
c potius insolens legatus non modo non maiore quam caeteri ho-
ore affectus est, sed derisus etiam ob vestitus inusitati novitatem.
ieterum pecunia, quae pacis causa danda esset, ad XVI auri ta-
ıta redacta, Philocales in Sicilia, ubi regem convenerat, expecta-
at dum ea mitterentur. imperator vero pecuniae inopiam causatus,
provinciis tributum exigebat quod Alemannicum appellatur, tum
rimum institutum, et urbano populo, senatu et coetu ecclesiastico,
pificibus item et artificibus omnis generis convocatis, petebat ut
uisque de facultatibus suis partem aliquam stipis nomine conferret.
ied cum se nihil proficere ac frustra talibus rebus niti et inania
erba fundere cerneret, plerisque etiam vociferantibus et tumultu-
ntibus ob inusitata ista et iniqua tributa, nonnullis vero censoriam
i notam inurentibus, quod rem publicam per luxum perderet, inter
ogatos provincias partitus, qui extinctis oculis omnes essent inu-
iles, ab eo quidem instituto toto impetu resiliit, ac propemodum

ἐκτὸς τοῦ βήματος, μήτε μὴν πρὸς ὑποδοχὴν ἡτοίμαστο τοῦ θείου σώματος καὶ αἵματος τοῦ Χριστοῦ. ἀποπηδησάντων δὲ πρὸς τοῦτο πολλῶν, καὶ εἰπόντων ὡς κοινοῦν ἐθέλει τὰ ἅγια, ἔγνω δεῖν τοῖς ἀλάλοις καὶ κωφοῖς τῶν βασιλέων ἐπιθέσθαι μνήμασι, μηδένα τὸν ὑπερφθεγξόμενον ἔχουσιν. ἐντμβωρυχοῦντο οὖν τὰ μνήματα, ὡς τοῖς πώ ποτε Ῥωμαίων C ἄρξασι, καὶ ὅσοις αἱ πράξεις περίδοξοι, τοὺς λαΐνους περιλελεῖφθαι μόνον χιτῶνας, τὸ ψυχρὸν καὶ τελευταῖον κάλυμμα τοῦτο, παντὸς γεγυμνωμένοις ἐπικοσμήματος τιμαλφοῦς. ἦν δ' ἂν οὐδ' ἡ τοῦ μεγάλου Κωνσταντίνου σορὸς ἀναφὴς καὶ ἀσκύλευτος, εἰ μὴ φῶρες φθάσαντες τὸ δόγμα τοῦ βασιλέως τὴν ἐπιτρέχουσαν διάχρυσον ἀγλαΐαν ἐκλοποφόρησαν. ἀμέλει καὶ συναγηοχὼς ἀργύριον ἐντεῦθεν ὑπὲρ τὰ ἑβδομήκοντα κεντηνάρια καὶ μερίδα χρυσίου τινὸς ὡσεὶ βέβηλον ὕλην καθῆκεν εἰς τὸ χωνευτήριον. δυσὶ δὲ τῶν ἐκ τῆς βασιλείου αὐλῆς τὴν τούτων ἐπαναθεὶς συλλογὴν εἶχεν ἀμφοτέρους μετὰ βραχὺ σύνδρομον τῇ πράξει τὴν ἐκβίωσιν εἰληφότας· ὁ μὲν γὰρ πυρετῷ λάβρῳ διαφρυγεὶς ἀπελήλυθεν, ὁ δὲ ὑδέρῳ κατὰ τοὺς ἀσκοὺς οἰδηθεὶς ἀπεγένετο.

4. ἀλάλοις] ἄλλοις A. 16. post συλλογὴν B τῷ τε κανικλείου καὶ ἑτέρῳ. 18. ὑδέρῳ] ὑδερώσας καὶ ὡς ἀσκὸς ὀγγωθεὶς διερράγη B. ὁ ἐπὶ τοῦ κανικλείου ἦν ἀνδρόνικος ὁ ἀλυάττης ὁ ἐκτομίας καὶ ὁ βάρβαρος margo A.

eam postulationem a se profectam esse negavit; et aliam ingressus viam, aurea et argentea donaria, quae extra sacrarium essent neque corpori et sanguini Christi suscipiendo servirent, postulavit. ab ea quoque petitione multis abhorrentibus, quasi sacra profanaturus esset, surda et muta imperatorum monumenta, quae nullum advocatum haberent, invadenda esse censuit. itaque sepulcra effodiuntur; nec ullis Romanorum imperatoribus, quantumvis ob res gestas claris, quicquam praeter saxeas tunicas, frigidum et extremum illud propugnaculum, relinquitur, omni pretioso ornatu spoliatis. ac ne magni quidem Constantini loculus intactus et inviolatus mansisset, nisi fures imperatoris decretum antevertissent et aurea illius ornamenta abstulissent. unde cum ad LXX centenarios argenti et auri nonnihil corrasisset, conflari ea tanquam profanam materiam iussit. eius muneris ministri duo paulo post obierunt, alter ardenti febre, alter aqua intercute sublatus.

ΒΑΣΙΛΕΙΑΣ
ΑΛΕΞΙΟΥ ΤΟΥ ΚΟΜΝΗΝΟΥ
ΤΟΜΟΣ Β.

1. Τὰ δ' ἐφεξῆς — ἀλλὰ τίς ἂν ἀξίως τὰς τοῦ κυρίου P. 309
λαλήσειε δυναστείας; ἢ τίς ἀκουστὰς ποιήσειε τὰς αἰνέσεις V. 254
αὐτοῦ; φθάνει τὴν ἀποστολὴν τῶν χρημάτων ὁ τοῦ ῥηγὸς Ἀλαμανίας θάνατος. οὐ Ῥωμαίοις δὲ μόνον πολυέραστος οὗτος γεγένηται, ἀλλὰ καὶ τοῖς ἑσπερίοις μάλιστα τρισασπάσιος ἔθνεσιν, ὅσα τε πρὸς ἑαυτὸν ἐκεῖνος βίᾳ πλέον ἢπερ πειθοῖ ἐπεσπάσατο καὶ ὅσα μετελθεῖν μελέτην ἐτίθετο, ἀεὶ μερίμναις κατατεινόμενος καὶ πρὸς ἅπασαν ἀντίζους ὁρώμενος ἡδυπάθειαν, ὅπως μοναρχίαν περιβαλεῖται καὶ κύριος ἐσεῖται τῶν κύκλῳ δυναστειῶν, τοὺς Ἀντωνίους καὶ Αὐγούστους Καίσαρας τῷ διανοητικῷ φανταζόμενος, καὶ πρὸς τὴν ἐκείνων ἀρχὴν ἐκτείνων τὴν ἔφεσιν, καὶ μικροῦ φθεγγόμενος κατ' Β
Ἀλέξανδρον „τὰ τῇδε καὶ τὰ τῇδε πάντα ἐμά," ὠχρός τε καὶ σύννους ὁρώμενος, καὶ τῆς ἡμέρας ὀψὲ τροφὴν προσιέμενος, καὶ πρὸς τοὺς εἰσάγοντας παραίνεσιν ὡς χρεὼν ἐκ τοῦ οὕτω

1. ΒΑΣ. — ΚΟΜΝ.] θάνατος τοῦ ῥηγὸς ἀλαμανίας B, om A.
3. ΤΟΜΟΣ Β om B.

IMPERII
ALEXII COMNENI
LIBER II.

1. Sed quis domini potentiam pro dignitate celebret aut laudes eius divulget? antequam pecunia mitteretur, Alemanniae rex moritur, cuius obitus non Romanis duntaxat optatissimus, sed Occidentalibus etiam gentibus gratissimus fuit, tum iis quas vi magis quam benevolentia secum coniunxerat, tum iis quas invadere decreverat, semper sollicitus et omnium voluptatum contemptor, ut monarchiam constitueret et circumiacentibus regnis omnibus dominaretur, Antonios et Augustos Caesares subinde somnians, et ad eorum principatum cupiditatem extendens, et tantum non ut Alexander dictitans „et haec et illa mea sunt," pallidus et severus. cum autem sero cibum caperet, et moneretur cavendum esse ne ea re valetudinem laederet, respondit homini privato quodvis tempus ad cibum

σιτεῖσθαι καχεξίαν ὑποβλέπεσθαι σώματος, ἀποφαινόμενός τε καὶ γνωματεύων ἰδιώτῃ μὲν ἐπιτήδειον εἶναι πάντα καιρὸν εἰς ἐστίασιν, καὶ μάλιστα ἢν εἰώθει τονθεύεσθαι, βασιλεῖ δὲ
P. 310 πολυφρόντιδι μηδὲ βουλομένῳ τὴν κλῆσιν ψεύδεσθαι ἀγαπητὸν εἰ καὶ περὶ βουλυτὸν ἐνευκαιρήσει τῇ ἀνέσει τοῦ σώματος. ἀλλ' ὅπερ ἔλεγον, καὶ πᾶσι μὲν εὐκταῖος ἔθνεσιν ὁ τοῦ ῥηγὸς Ἀλαμανίας θάνατος ἐφάνη, Σικελοῖς δὲ καὶ μάλιστα ὡς οὐδέ τισιν ἄλλοις ἡ τελευτὴ τούτου ἀσπασιωτάτη γεγένηται, ὅσῳ καὶ τῆς νήσου ταύτης ἁλούσης πλείστοις ὑπ' αὐτοῦ κακοῖς προσεπάλαισαν, ἅπερ οὐδὲ ῥᾴδιον γραφῇ παραδοῦναι.
V. 255 οὐ γὰρ μόνον ὑπήνεγκαν οὗτοι σφαγὰς καὶ χρημάτων ὑπέσιησαν ἁρπαγὰς καὶ πατρίδος ἐδυστύχησαν ἔκπτωσιν καὶ κολάσεσιν ἀνυποίστοις καθυπεβλήθησαν, ὁπόσαι τοῦ ζῆν αἱρετώτερον τιθέασι τὸ θανεῖν, ἀλλὰ καὶ πόλεις Σικελαὶ πολλαὶ καθῃρέθησαν καὶ φρούρια ἐπίκαιρα κατεσκάφησαν. ἐδεδίει γὰρ τὴν ἐς τοὐπιὸν ἐπανάστασιν, καὶ ὡς μή ποτε Σικελοὶ
B τῆς ἐλευθερίας ἐρασθεῖεν προμηθούμενος πᾶσαν αὐτοῖς ἀγαθὴν ἐλπίδα ἀπέκοψε, ὅση τε ἐν χρήμασι καὶ ὅση ἐν ἅρμασι καὶ ἵπποις τεθέαται, καὶ ὅση περιβόλοις πόλεων εὐτειχίστοις καὶ ἀνδράσιν εὐγενέσι καὶ ἐχυροῖς ἐρύμασιν ἐμπεριεχρατεῖ πλὴν καὶ τὸ μέλλον δεινὸν ὡς ὥραι ὑφορώμενος καὶ μὴ παρὸν προαποχρούομενος ἐπεβουλεύθη παρά τινων, καὶ κρείττων τῆς ἐκείνων φανεὶς ἐπιθέσεως οὐ τῷ διὰ ξίφους θανάτῳ τοὺς

2. ἰδιώτῃ] χωριάτῃ B. 11. καὶ χρημάτων] καὶ τὰς κληρονομικὰς περιουσίας αὐτῶν ἀφηρέθησαν καὶ ἐξοριάσθησαν ἀπὸ τῆς πατρίδος αὐτῶν καὶ κολάσεσιν ἀφορήτοις καθυποβλήθησαν, ἐπεὶ καὶ πολλαὶ γυναῖκες τοῦ θανεῖν μᾶλλον ἢ ζῆν μετ' αὐτῶν προέθανον B. 21. δεινὸν ὁσῶραι?

capiendum esse idoneum, id praesertim cui assueverit: regi vero tot curis distracto, si nomini suo respondere vellet, satis esse si vesperi curare corpus liceret. verum quod dixi, regis Alemanniae mors cum omnibus aliis gentibus optata fuerit, tum Siculi ea tanto magis sunt exhilarati, quod insula capta gravissimis ab eo malis affecti fuerant, quae vix satis describi possunt. non enim tantum caedibus rapinis exiliis, cruciatibus intolerabilibus et morte gravioribus afflicti fuerant, sed multae etiam urbes eversae, multa opportuna castella diruta erant. metuebat etiam rebellionem eorum, et quo libertatis cupiditatem opprimeret, omnem fortunae melioris spem, quam vel pecunia vel currus et equi vel munitae urbes vel viri nobiles vel tuta castella suppeditare queunt, eis ademit. dum autem futurum periculum tanquam iam urgens reformidat, et id quod nondum aderat propulsat, quorundam insidiis est appetitus; quorum conatus

ἀντιστάτας ἠμύνατο, ἀλλὰ πολυτρόπως πρότερον βασανίσας οἰκτρότατα οὕτω τοῦ ζῆν ἐστέρησεν· ὃν μὲν γὰρ διακεχαλκωὸς καχλάζοντι λέβητι καὶ θεὶς ἐπὶ κανοῦ καθάπερ σῖτον ἐκπέπομφε τοῖς οἰκείοις, ὃν δὲ ἠκοντικὼς εἰς πυρὰν ἀνακαεῖσαν ἐπταπλασίως, ὃν δὲ ἐνσακκεύσας καὶ τῷ βυθῷ τῆς θαλάσσης παραπέμψας ἐξέτριψε. τὸν δέ γε πρωτουργὸν τοῦ συστρέμματος καὶ πρὸς ἡγεμονίαν ἐπιλεγέντα βαρυτέρᾳ τιμωρίᾳ τῶν λοιπῶν ὑπεδίκασε· στέφος γὰρ ἐκ χαλκοῦ ἐπιτάξας γενέσθαι, ἐγκαρσίους ἔχον ὁπὰς ἴσας τοῖς πέρασι, περιτίθησι τοῦτο τῷ ἀνταράντι χεῖρας ἐκείνῳ, ἔπειτα τέτρασι μεγίστοις ἔστορσιν ἐς τὸ διαμπερὲς διαβεβλημένοις τῇ κεφαλῇ ἐνερείσας τὸ διάδημα οὕτω διαφῆκε βαδίζειν, „ἔχεις" εἰπὼν „ὃν ἐδίωκες, ἄνθρωπε, στέφανον· φθόνος οὐδείς, ἀπόλαυε τοῦ ἐφετοῦ σοι λίαν καὶ περισπουδάστου χρήματος." ὁ δὲ σκοτοδίνης πληγεὶς καὶ πρηνὴς πεσὼν μετὰ βραχὺ ἐτεθνήκει, τῷ οἰκτρῷ ἐκείνῳ ἐναπορρήξας στεφανώματι τὴν ψυχήν. κατὰ δὲ τὴν ἅλωσιν τῆς Σικελίας ἀπήχθη μεθ' ἑτέρων αἰχμάλωτος καὶ ἡ θυγάτηρ Ἰσαακίου τοῦ αὐτοκράτορος, ἧς ἡ κλῆσις Εἰρήνη, καὶ προσαρμόζεται Φιλίππῳ τῷ τοῦ ῥηγὸς Ἀλαμανίας ἀδελφῷ, ἐκ πορνικῶν φυέντι σπερμάτων, ἀποβαλοῦσα αὖτη θανάτῳ τὸν ἐκ παρθενίας καὶ πρότερον σύνευνον, ὃς καὶ ἐτυράννησε Σικελίας μετὰ μόρον τοῦ τεκόντος αὐτὸν Ταγκρέ.

2. ὃν μὲν] τὸν μὲν γὰρ ἐν λέβητι χαλκῷ ἑψήσας καὶ καταλύσας εἰς λέπτα ὥσπερ κανείσκιον, ἀπὸ τούτου τὰ μέλη ἔπεμπε πρὸς τοὺς αὐτοῦ συγγενεῖς. B. 6. πρωτ. καὶ πρωταίτιον τοῦ B. 10. τέτρασι] μετὰ καρφίων μεγάλων τεσσάρων κατακαρφώσας αὐτὸ B.

cum antevertisset, insidiatores non gladio punivit, sed variis modis miserabiliter excruciatos interfecit. nam alium ferventi aqua excoctum in canistro pro missu ad suos remisit, alium in ingentem rogum coniecit, alium culeo insutum in fundum maris abiecit. factionis vero principem et regem delectum graviori supplicio destinavit: iussit enim coronam aeneam fieri cum quatuor foraminibus, quam eius capiti totidem magnis clavis affixit, atque ita hominem abire iussit his verbis „habes, homo, coronam quam venatus es. nemo tibi invidet: fruere usque adeo desiderata re." is vero vertigine oborta humi prolapsus paulo post in miserabili illo diademate expiravit. capta Sicilia, una cum caeteris Irene Isaacii imperatoris filia captiva est abducta et desponsa notho fratri regis Alemanniae Philippo, amisso priore coniuge, qui post obitum Tancredi patris Siciliae imperarat.

Ἀλλ' ἐκποδὼν καὶ τοῦδε τοῦ κακοῦ θεόθεν γεγενημένου, μεγίστου τε ὄντος καὶ ὑφ' οὗ πᾶσα ἡ Ῥωμαίων ἐκαραδόκει τὰ δεινότατα πείσεσθαι, ἕτερον ὑπεκύμανε κυνοβλαβὲς καθ' ἅλα κακόν. Γενουΐτης γάρ τις Καφούρης τοὔνομα, νῆας δικρότους καὶ τρικρότους πηξάμενος καὶ πλοίοις στρογγύλοις φραξάμενος, τὰς παραθαλαττίους ἔκειρε πόλεις καὶ τὰς νήσους ἐπιὼν ἐτίθει κακῶς, αἳ κατὰ τὸ Αἰγαῖον ἀνίσχουσι πέλαγος. ἀλλὰ καὶ τῷ Ἀτραμυτίῳ προσβαλὼν λείαν ἐκεῖθεν
P. 311 ἤλασε καὶ συνέλεξε πλοῦτον οὐ σταθμητόν. ὡς δὲ ῥᾳγκοντες βαθέως ἔξανέθορον ὀψέ ποτε καὶ ἀνένηψαν βράδιον οἷς ἔξῆν τὰ τοιαῦτα σκέπτεσθαι, στέλλεται κατὰ τοῦ Καφούρη μετὰ τριάκοντα νηῶν ὁ Στειριώνης Ἰωάννης, πειρατὴς μέν ποτε γεγονὼς καὶ πειρατῶν ὁ χείριστος, ἐκ Καλαβρίας ὁρμώμενος, Ἰσαακίῳ δὲ τῷ βασιλεῖ προσρυεὶς ἐπὶ μεγίστοις φιλοτιμήμασι καὶ Ῥωμαίους πλειστάκις ὠφεληκὼς ἐν τοῖς κατὰ θάλατταν
B ἀεθλεύμασιν. ἔξιὼν οὖν κατὰ τοῦ Καφούρη κακοδαιμονεῖ παρὰ δόξαν· ἔχων γὰρ διὰ μελέτης κατασοφίσασθαι τὸν ἀντίπαλον, πλείω προβεβλημένον ἰσχύν, ὑπ' ἐκείνου καταναυμαχεῖται, πεπονθὼς ὃ δράσειν ἐκεῖνον ἐνενόει διὰ παντός. ταῖς γὰρ Ῥωμαϊκαῖς ναυσὶ περὶ Σηστὸν σαλευούσαις λαθρα-
δὸν ἐπιστὰς ὁ Καφούρης, ὡς εὗρε περὶ μεσημβρίαν κατὰ τὸν Σιγὸν ποταμὸν κεκενωμένας τοῦ ναυτικοῦ, ἁπάξαπάσας μετὰ τῶν ὅπλων καὶ ὧν εἶχον ἔνδοθι βιωσίμων αἱρεῖ. ἐκ δὲ τούτου τὰς νήσους ἀδεῶς ἐπιὼν καὶ χωρία τὰ πάραλα λῃζό-

4. τις] τις φρύγγος B. νῆας] κάτεργα διτζέρια καὶ τριτζέρια B. 23. βρωσίμων B.

Caeterum hoc quoque malo maximo, a quo omnes provinciae Romanae pessima quaeque timebant, divinitus sublato aliud infortunium e mari extitit. nam Genuensis quidam nomine Caphures, biremibus et triremibus fabricatis, rotundis etiam navibus instructis, maritimas urbes et insulas Aegaei maris vexavit. sed et Adramyttio acta praeda immensis opibus est potitus. ut vero iis quibus talia curae esse debebant tandem veternus excussus est, Ioannes Stiriones cum XXX navibus contra illum mittitur. fuerat is Stiriones pirata saevissimus, e Calabria oriundus: sed ab imperatore Isaacio maximis muneribus ascitus Romanis saepissime in navalibus bellis commodarat. is contra Caphurem profectus praeter expectationem adversa fortuna utitur: nam cum viribus adversario inferior illum arte superare contenderet, ab eo victus est, id perpessus quod perpetuo facere destinarat. Caphures etiam Romanas naves circa Sestum clam adortus, cum sub meridiem ad Sigum flumen classiariis vacuas reperisset, universas cum armis et commeatu capit. ex eo insulis et locis

μενος φόρους ἐπέταττε καὶ συνέλεγεν ὡς ἠβούλετο. βασιλεὺς τοίνυν ἐξηπορηκὼς ἐπὶ τούτοις δεῖν ἔγνω σπείσασθαι τῷ πειρατῇ. ἀμέλει καὶ στείλας τινὰς τῶν συνήθων ἐκείνῳ Γενουί- V. 256
τῶν (πολλάκις γὰρ κατ' ἐμπορίαν ὧδε κατήχθη ἐς τὸ Βυζάντιον· καὶ ὃ δέδρακεν, ἐς χρήματα ζημιωθεὶς παρὰ τοῦ τότε δουκὸς τοῦ στόλου Μιχαὴλ τοῦ Στρυφνοῦ εἰργάσατο) ἀνεκίνει μὲν καὶ λόγους περὶ σπονδῶν, οὐδὲν δὲ ἧττον καὶ πρὸς πόλεμον ἡτοιμάζετο, τριήρεις ἄλλας καταρτισάμενος καὶ ταύτας αὖθις τῷ Στειριόνῃ παραδούς. ὡς δὲ συνέβησαν, ὁ C
μὲν βασιλεὺς ἓξ κεντηνάρια χρυσίου στεῖλαι τῷ Καφούρῃ καὶ χώραν ἀποδάσασθαί οἱ Ῥωμαϊκὴν ἑπταπλασίους ἔχουσαν τρέφειν ὁμογενεῖς ἐκείνῳ ὁπλίτας, ὃ δὲ ὑπείκειν τῷ βασιλεῖ, ἀπροσδόκητος ὁ Στειριόνης μετὰ τῆς ἑπομένης αὐτῷ Πισσαϊκῆς δυνάμεως, ἔτι οὔσης τῆς εἰρήνης ἀμφιπαλοῦς, καὶ μάχην συνάψας, αὐτόν τε τὸν Καφούρην ἑλὼν ἀναιρεῖ καὶ τὰς ἐκείνου νῆας πλὴν τεττάρων αἱρεῖ· αὗται δὲ τὸν ἐκείνου ἦγον ἀνεψιόν.

2. Ἀλλὰ καὶ τῶνδε τῶν κακῶν ἐκποδὼν γενομένων ὁ ἐν τοῖς ἀρχείοις ἐπεγείρεται τάραχος, ὃς τὰ κατὰ τὸν βασιλέα ἦσχυνέ τε τὰ μέγιστα καὶ ἐφ' ἱκανὸν διεκύκησε. μέλλων δὲ τὰ περὶ τούτων διεξιέναι, ὡς εἰς ἀρχὴν τὸν λόγον

11. καὶ χώραν] καὶ πρόνοιαν τοσαύτην πρὸς τὸ τρέφειν ἀνθρώπους ἑπτακοσίους, αὐτὸς δὲ πάλιν ἵνα ὑποτάσσεται τῷ βασιλεῖ καὶ ἀπέρχεται ἔνθα ἂν ὁρισθῇ B. 21. ὡς εἰς] ἐξ ἀρχῆς μέλλω ἄρξασθαι ὅπως γνωρίσητε τὰ λεγόμενα B.

maritimis, quae impune passim populabatur, tributa pro sua libidine imperabat et exigebat. quare imperator inops consilii pacem cum pirata faciendam censuit; et quibusdam Genuensibus illi familiaribus ad eum missis (saepe enim negotiandi gratia Byzantium appulerat, et quod faciebat, ea de causa faciebat quod a Michaele Stryphno classis praefecto pecunia multatus fuerat), quamvis verba de pace faceret, nihilominus etiam ad bellum se parabat, aliis triremibus comparatis et rursus Stirioni traditis. sed ut inter eos convenit, et imperator se ei VI auri centenarios missurum et Romanum agrum assignaturum, qui septuplo plures milites posset alere quam ipse haberet, ille contra se imperatori dicto audientem fore est pollicitus, Stiriones cum suis, Pisanis copiis, pace adhuc ambigua, ex improviso Caphurem adoritur commissaque pugna captum occidit, et eius navibus, quatuor exceptis, potitur, in quibus consobrinus eius erat.

2. His quoque malis amotis Palatinae turbae oriuntur, quae imperatorem et probro et diuturnis molestiis affecerunt. qua de re dicturo mihi ad principium est recurrendum, ut narratio fiat apertior.

εἰς ψόγον τὴν ἱστορίαν
P. 312 μὴ χρημάτων ὠνίους τὰς ἀρχὰς
δην καὶ δῶρον αὐτὰς βραβεύεσθ
τον ἐννόημα ἐλευθέριόν τε ἄγαν
χρηστῆς βασιλείας καὶ ὑποβάθ
ἐπαλληλίζειν τις ἕλοιτο, οὐκ ἂν π
δείγματι ἐπὶ τῶν ἡμετέρων ἡμερῶ
τες κερδοσυλλέκται πάντες τυγχ
ταθέσεσι τῶν ἀρχόντων μηδὲν
γμένοι ὅτι μὴ κλέψαι καὶ διαρ
φορὰς ὑφελέσθαι καὶ περιβαλ
B προσιόντας σφίσιν ὅτου ἐνέτυχ
ἐληΐζοντο, καὶ τὰ ξυλλεγόμενα
καὶ τύχην ἰδιωτικὴν ὑπερβαι

2. ἀμυδρῶς] συνεσκιρτημένως ἐνοχὰς μὴ εἰς πάντα διδόναι δήτοις B.

imperator Alexius, ut supra innu
plerisque non pacificus sed adm
omnes augurabantur eum non mo
turum, sed nec in subditos omni
contrarium evenit, decepta omni
tam, ne vituperationem potius qu
principatus proclamari iussit se
delectu ex optimis habito gratuit
liberale et praeclarum erat, et

ἄλλα ἡμαρτήθη ὡς οὔ ποτε κατ' ἄλλην ἀρχήν, καὶ παντάπασι τὰ Ῥωμαίων διέφθαρται πράγματα, καὶ αἱ ἀρχαὶ χειρόνως καὶ οὐχ ὡς πρότερον τοῖς πρίασθαι θέλουσι προύκειντο. ἦν οὖν τοῦ βουλομένου παντὸς χώρας ἀρχὴν ἀναζώσασθαι καὶ τοῦ μεγίστου παρὰ Ῥωμαίοις τυχεῖν ἀξιώματος. οὐ μόνον τοίνυν οἱ ἐν τριόδοις καὶ ἀγοραῖς καὶ κολλυβισταὶ καὶ πραταὶ τῶν ὀθονῶν σεβαστοὶ ἐτιμήθησαν, ἀλλὰ καὶ Σκύθαι καὶ Σύροι ὤνιον ἀργυρίων εὕραντο τὸ σεβάζεσθαι, τοῖς πρὶν ὑπηρετεῖσθαι δεσπόταις ἠδοξηκότες. τούτων δὲ πάντων C αἰτία τις ἦν, ὡς εἴρηται, πρωτουργὸς ἡ τῶν βασιλικῶν φρενῶν ἐλαφρία καὶ τὸ πρὸς διοίκησιν τῶν πραγμάτων ἀπροσφυές, οὐκ ἔλαττον δὲ καὶ ἡ λιχνεία τῶν περὶ αὐτὸν καὶ τὸ πρὸς συλλογὴν χρημάτων ἄπληστόν τινων καὶ ἀκόρεστον, ὅθεν ὑπὸ τῆς γυναικωνίτιδος, καὶ ὅσοι τῶν ἐξ ἀνδρῶν αὐτῇ προσῳκείωντο, διεπεττεύετο τὰ κοινά. τοσοῦτον δ' ἀπεῖχε τοῦ εἰδέναι τὰ δρώμενα, ἐς ὅσον καὶ Ῥωμαίων ἀποσχοινί- V. 257 ζονται οἱ τῆς Θούλης οἰκοῦντες τὰ ἔσχατα. οὐκοῦν αὐτός τε ὁ τῆς ἀρχῆς πηδαλιοῦχος κακῶς ἤκουε παρὰ πάντων, καὶ τὸ ἐς πρωρεῖς καὶ νήτας ὑπ' ἐκείνου ταχθὲν παλαμναιοτάτως D ἀραῖς ὑπεβάλλετο. ἡ τοίνυν βασιλὶς οὐκ ἀνασχετὸν τὸ γινόμενον οὕτω κρίνουσα, ὅτι μηδὲ διαδρᾶναι οἷόν τε ἦν τὸ ταύ-

6. οὐ μόνον γὰρ καταλλάκται καὶ ἁλιεῖς καὶ ναῦται καὶ ὀνηλάται καὶ πανοπράται καὶ κάπηλοι σεβαστοὶ ἐτιμήθησαν ἀλλὰ καὶ κάμανοι καὶ σύροι διὰ χρημάτων σεβαστοὶ ἐτιμήθησαν, τοὺς πρώην ὄντας αὐθέντας αὐτῶν εἰς οὐδὲν ἡγούμενοι. B. 12. λιχνεία] λειξουρία B. 14. ὑπὸ τῶν εὐνούχων καὶ τῶν παιδοπούλων τῶν οἰκειουμένων αὐτῷ B. 18. τὸ ἐς πρωρεῖς] τὸ ἐπιτεθὲν παρ' αὐτοῦ κεφάλαιον εἰς τοὺς ναύτας τὸ νῦν λεγόμενον ἀντίναυλον B.

peraret. unde cum aliis in rebus ita peccatum est ut in nullo alio imperio, tum Romana res publica funditus interiit, et magistratus peius quam prius venales extiterunt. cuivis licebat praeesse provinciae et summum apud Romanos dignitatis gradum consequi. ita factum ut non modo triviales et circumforanei homines, nummularii et institores, sed Scythae etiam et Syri excusso veterum dominorum iugo Augusti crearentur. harum rerum omnium, ut dictum est, primaria causa fuit imperatoris facilitas, ne levitas dicam, et ingenium imperio ineptum. eo accedebat familiarium eius ingluvies et quorundam inexplebilis avaritia. itaque mulieribus et cognatis eius res publica ludibrio erat. ipse vero quid rerum gereretur, non magis norat quam qui in extrema Thule habitant. hinc et ipse gubernator pessime apud omnes audiebat, et proretae ac nautae omnes ab eo delecti atrocissimis diris devovebantur. imperatrix vero, quae eas res

της ἐρευνητικὸν καὶ ἐρασιχρήματον, ἔγνω μὴ ἐπὶ μακρὸν ἐθελοντὶ ἀτρεμεῖν, ἀλλ' ἢ κατὰ τοὐπίταγμα τοῦ ταύτης ἀνδρὸς τὰς προβλήσεις γίνεσθαι ἀπράτους ἢ γοῦν τὴν βασίλειον γάζαν στέγειν τὰ ξυλλεγόμενα. καὶ τὰ μὲν πρῶτα εἰς ὑπουργὸν ἡ βασιλὶς ἐπέταξεν ἑαυτῇ τὸν Μεσοποταμίτην Κωνσταντῖνον· ἦν δ' οὗτος ὁ παρ' Ἰσαακίῳ τῷ Ἀγγέλῳ τὰ μέγιστα δυνηθείς, καθὼς ἐν τοῖς περὶ ἐκείνου λόγοις εἰρήκειμεν. ἔπειτα δὲ τῷ ἀνδρὶ καταλλάσσει, δύσνως πρὸ τῆς ἀρχῆς εἰς αὐτὸν ἔχοντι καὶ μετὰ τὴν τοῦ κράτους ἔτι ἀποστρεφομένῳ τοῦτον ἀνάζωσιν, ὅτι τε πολλὰ τῶν καθεστώτων πραγμάτων Ῥωμαίοις κεκίνηκε τοῦ στασίμου, καὶ ὅτι ξυγκυκῶν κατὰ πρόοδον καὶ συνταράσσων τὰ σύμπαντα οὐδαμῶς ἔληγεν. ὡς
P. 313 οὖν ἡ τῶν κοινῶν διοίκησις πάλιν πρὸς τὸν Μεσοποταμίτην μετανενεύκει, ἔσβεστο ἡ τῶν ἄλλων ἰσχύς, ἠμαύρωτο δὲ τῶν τῷ βασιλεῖ προσκολλωμένων τῆς δυναστείας τὸ φῶς, καὶ ὁ πρώην παρὰ τῷ κρατοῦντι ἀπόβλητος ἀξύμβλητος τηνικαῦτα ἐκρίνετο, κέρας ἂν Ἀμαλθείας ᾤετο παρ' ἐκείνῳ καὶ πολυμιγὴς κρατὴρ ἀγαθῶν ἢ τὸ παρὰ τῷ Ἰὼβ παμβότανον τοῦ ἀγροῦ, καὶ πᾶσι πάντα προσφυῶς καὶ καταλλήλως εἰδὼς γίνεσθαι, φῶς μὲν ὀφθαλμοῖς ἀναπεπταμένον, ἀὴρ δ' εἰσκεχυμένος ῥισὶ ζωογόνος, τὸ τοῦ Περόζου ἄντικρυς μάργαρον, ἀεὶ πρὸς τοῖς ὠσὶ τοῦ βασιλέως ἀπαιωρούμενον καὶ τῆς ὅλης ἀνταξιον ἀρχῆς κρινόμενον, εἴτε μὴν Ἀρτέμων ὁ περιφόρητος καὶ Ἄργος
B ὁ πολυόμματος καὶ ὁ ἑκατόγχειρ Βριάρεως. τὸ δὲ δὴ πα-

4. εἰς ὑπουργὸν] ὁ βασιλεὺς ὡς ὑπουργὸν αὐτῆς B. 17. ἂν] τε?

non ferendas duceret (neque enim diligentiam et avaritiam eius latere poterant), non diu sibi quiescendum rata, aut magistratus ex edicto imperatoris non nundinandos aut collectam pecuniam in fiscum esse referendam censuit. ac principio eius instituti ministrum deligit Mesopotamitanum Constantinum, cuius apud Isaacium summam fuisse auctoritatem diximus. deinde eum marito, cui et ante principatum invisus et post eum quoque parum gratus erat, quod plurima in Romana re publica novasset et labefactasset et conturbare omnia non destitisset, reconciliat. igitur summa rerum denuo ad illum devoluta caeterorum auctoritas elanguit, et lumen potentiae cognatorum imperatoris est obscuratum. qui vero dudum ab imperatore pro nihilo putabatur, tum omnia poterat, et unus erat instar omnium, unus omnia recte statuere, unus omnium moribus se accommodare, omnibus omnibus pro dignitate posse tribuere putabatur, et ab imperatoris latere nunquam discedebat. eam inexpectatam mutationem cum alii,

φάλογον οὕτωσὶ συμπεσὸν βαρέως μὲν καὶ ἄλλοι ἤνεγκαν, ὁπόσοι τῆς προτέρας ἰσχύος ἐξέπεσον ἢ γοῦν κατὰ πυγολαμπίδας ἠμαύρωντο μειδιασάσης ἡμέρας· οἱ δ' ἐξ αἵματος τῆς δεσποίνης Ἀνδρονικός τε ὁ Κοντοστέφανος, ὃς Εἰρήνῃ τῇ ταύτης θυγατρὶ συνηυνάζετο, καὶ ὁ ταύτης ὁμαίμων ὁ Καματηρὸς Βασίλειος μικροῦ τῷ γενομένῳ καὶ ἀπεπνίγησαν. ἀφέντες οὖν τῷ τέως τὴν κατ' αὐτῶν βληθεῖσαν καὶ εἰς πρόσκομμα κειμένην λίθακα, τὸν Μεσοποταμίτην φημὶ Κωνσταντῖνον, ἐπὶ τὴν ἀφιεῖσαν δέσποιναν ὅλον τὸν δρόμον συνέτειναν καὶ τὸν χόλον ἐμημέκεσαν, ζητοῦντες ἐν καιρίοις τὴν ὄρεξιν τῆς ἀντιλυπήσεως. μετὰ γοῦν ἱκανωτάτην σκέψιν τοῦ ποιητέου καὶ μεθ' ὅσην τῆς ἐπιβουλῆς προμήθευσίν τε καὶ προβούλευσιν προσίασι βασιλεῖ πρὸς τὰ ἑσπέρια μέρη ἀπαίροντι. ἰδίᾳ δὲ τούτῳ ἐντυχόντες ἔφησαν „εἰ καὶ ἡ φύσις οἶδε τὸ συγγενὲς τιμιώτερον καὶ πρὸς ἀγάπησιν ἐπιτηδειότερον, ἀλλ' αὐτοὶ φιλοβασιλεῖς μᾶλλον καὶ φιλαλέξιοι πλέον ἢ φιλευφρόσυνοι καὶ εἶναι καὶ ἀκούειν βουλόμεθα. σοῦ μὲν γὰρ μηδέν τι ἀπευκταῖον ἐξ ἀνθρωπίνης χειρὸς πεπονθότος τὸ κοινὸν τοῦτο πάντων ἀνθρώπων σωτήριόν ἐστι, τὸ τὴν βασιλείαν σώζεσθαι, καὶ ἴδιον ἀγαθὸν ἡμῖν ποιούμεθα· εἰ δ' ἐπὶ σοί τι ξυμβαίη τῶν ἀδοκήτων, κοινῇ συνανατραπέντες καὶ συμφορὰς ἰδίας προσεπιμαζόμεθα, φρούδων ἁπάντων γεγενημένων ἅπερ

2. κατὰ] ὥσπερ κωλοφώτια ἐσβέσθησαν B. 12. μεθ' ὅσην] addendumne οὐκ εἶπῃ τις ἄν? 14. δὲ] τε A. 17. σοῦ] τοῦ APW. 19. ἐστι expungendum videtur. B σοῦ γὰρ μηδὲν παρὰ ἀνθρώπου παθόντος τινὸς κακύν, τὴν κοινὴν σωτηρίαν πάντων ἀνθρώπων, τὸ γὰρ σώζεσθαι τὴν σὴν βασιλείαν καὶ ἡμέτερόν ἐστιν ἀγαθὸν καὶ ἀσάλευτον τῶν ἀνθρώπων στερέωμα, τοῦτο ἡγούμεθα.

qui priori potentia exciderant et ut pyrilampides orto sole splendere desierant, aegre tulerunt, tum imperatricis cognatis Andronico Contostephano, cui Irene illius filia nupta erat, et fratri eius Camatero Basilio pene ilia rumpebantur. proinde omisso Constantino, qui ut lapillus contra ipsos coniectus erat, totum cursum contra dominam, quae eum coniecerat, intenderunt, et bilem suam evomuerunt, ultionis occasionem quaeritantes. et post diuturnam deliberationem et summam cautionem imperatorem adeunt in Occidentem abiturum, et huiusmodi orationem habent. „etsi natura fert ut cognatis maior caritas et honos tribuatur, nos tamen ii sumus qui imperatorem et Alexium plus diligamus quam Euphrosynam. nam si is ab humana manu inviolatus permanserit, imperium esse salvum, cum publice omnibus salutare tum privatim nobis est conducibile. sin te casus aliquis inopinatus oppresserit, nos in communi omnium naufragio

ἀναδούμεθα σοῦ βασιλεύοντος." οὕτω φροιμιασάμενοι, καὶ
D δεξιῶς χορδολογήσαντες τὸ τοῦ λόγου βάρβιτον, ἐπήνεγκαν
τὸν κολοφῶνα τῆς ὑποθέσεως οἷόν τι μέλημα ἐξιστῶν τὸν
βασιλέα φρενὸς καὶ μεταφέρον εἰς μανιώδη ἀλλοίωσιν, ὡς
οὐδ' Ἀλέξανδρον πάλαι πρὸς ὅπλισιν τὰ Τιμοθέου ἐνεθέαζον
κρούματα. φασὶ γὰρ ὡς „ἦ σὴ ἄλοχος, δέσποτα, ἐς πρά-
V. 258 ξεις μυσαρωτάτας ἀνακεκαλυμμένῃ χωρεῖ κεφαλῇ, καὶ σὲ
τὸν εὐνέτην εἰς τὴν κοίτην ὡς μαχλὰς ἀδικοῦσα δεδίαμεν μὴ
καὶ νεωτέροις ἐγχειρήσειε πράγμασι μικρῷ ὕστερον· ᾧ γὰρ
λεσχηνεύουσα καὶ ἀναίδην συγκατακλινομένη γέγηθε, τοῦτον
εἰκὸς καὶ ἄρχειν αὐτὴν αἱρεῖσθαι, καὶ τὴν πᾶσαν πρὸς τοῦτο
συντείνειν πρόθεσιν. δεῖ τοίνυν αὐτὴν μὲν ἀνακοπῆναι τοῦ
πάντα δύνασθαι καὶ πλούτῳ περιρρεῖσθαι πολλῷ, τὸν δ'
ἐραστὴν αὐτῆς, ὃν αὐτὸς μὲν ἐς παῖδας ἐνέγραψας, ἡ δὲ
ἀθεμίτως ἑαυτῆς πεποίηκεν ἐπιβήτορα, ἐκποδὼν γενέσθαι
P. 314 ἀνυπερθέτως καὶ μάλα αὐτίκα, ὡς μηκέτι τοιοῦτόν τι ξυμ-
περαίνηται μίασμα. τὰ δ' εἰς τὴν ἄδικον σύζυγον γενησόμε-
να χρεὼν ἀναβεβλῆσθαι κατὰ καιρὸν καθ' ὃν σὺν θεῷ ἀνύ-
σας τὴν προκειμένην εἰς τὴν Κωνσταντίνου αὖθις ἐπαναλύ-
σειας." ταῦθ' οἱ μὲν εἰπόντες καὶ ὑποθέμενοι ἀνδρῶν ἠχη-
κόεισαν βέλτιστοι καὶ χρῆμά τι σπάνιον ὁμοῦ καὶ ἀσπάσιον·
ὁ δὲ βασιλεὺς μέγ' ὀχθήσας ὅτι τῶν πρὸς τὸν Βατάτζην νυ-

9. ᾧ γὰρ] ὃν γὰρ ἀδιαντρόπως ἐπάνω αὐτῆς ἀναβαίνειν πεποίηκε B. 13. τὸν δ' ἐραστὴν] τὸν δὲ καῦχον καὶ φίλον αὐτῆς B. 18. καθ' ὃν] ὅτε σὺν θεῷ τὴν προκειμένην ἐκπληρώσης δουλείαν B.

etiam privatim periclitabimur, iactura earum rerum omnium facta quas te imperatore tenemus." hac insinuatione usi argumenti summam subiecerunt, et imperatorem velut in furorem impulerunt, eumque multo maiorem quam Timothei moduli Alexandrum. „aiunt coniugem tuam, domine, citra ullam verecundiam in turpissima facinora delabi et adulteriis thalamum tuum inquinare. quare veremur ne paulo post novis rebus studeat. nam cum quo impudenter concumbit et suas voluptates explet, eum probabile est eam etiam ad imperium evectum velle et in eam rem omnes suos nervos intendere. est igitur potentia mulieris et opulentia restringenda: amator vero eius, quem tute adoptasti, illa vero incesto concubitu sibi iunxit, sine ulla mora statim e medio tollendus, ne posthac simile piaculum admittatur. caeterum iniquae coniugis poena in id tempus differenda est, quo, defortunante, ab instituto itinere Cpolim reversus fueris." haec cum dixissent et monuissent, viri omnium optimi sunt iudicati, quales pauci inveniantur et summo honore afficiendi sint. imperator vero graviter indignatus talem sibi pro summis meritis referri gratiam,

πθιεῶν ταύτην ἀνείληφεν ἀμοιβήν, στείλας εὐθὺς τῶν δορυφόρων ἕνα, ᾧ ἐπίκλησις Βαστραλίτης, τίθησιν ἐξ ἀνθρώπων. ὁ μὲν γὰρ τοῖς περὶ Βιθυνίαν διέτριβε μέρεσιν, ἔτι ἀντιστατοῦντος Ἀλεξίου τοῦ Κίλικος· ὁ δὲ Βαστραλίτης ἀφικόμενος καὶ τοῦτον τοῦ στρατοπέδου ἀπαγαγών, ὡς ἂν οὕτω μηδενὸς B αἴοντος ἀπαγγελεῖ τὰ βασιλέως ἐντάλματα ἅπερ εἰς ἐκεῖνον ἦκει φέρων ἀπόρρητα, αὐτός τε τὸ ξίφος ἐσπάσατο καὶ οἱ τῶν ἐκείνου πρὸς φονουργίαν προητοιμάσθησαν, καὶ ἦν ὁ μεῖραξ ἐντεῦθεν ὡς βόσκημα διαμελιζόμενον. καὶ τὸ μὲν ἔργον τοῦτο βαρέως καὶ δυσφόρως ἅπας ἤνεγκεν ὁ στρατός, ὁπόσοις τὸ πραχθὲν ἐν ὀφθαλμοῖς προύκειτο· ὁ δὲ Βαστραλίτης πηριδίῳ τὴν τοῦ Βατάτζη κεφαλὴν ἐνθέμενος εὔζωνος ἐπανῆκεν ἐς βασιλέα. καὶ οὗτος τῷ κρανίῳ πρὸ τῶν ποδῶν ῥιφέντι λὰξ ἐναλλόμενος, καὶ ἱκανῶς αὐτῷ ἐμβλέπων, προσλαλιάν τινα διεξῄει μηδαμῶς ἱστορίᾳ δοθῆναι πρέπουσαν. C

3. Καὶ βασιλεὺς μετὰ τοῦτο τῆς προκειμένης ἐχόμενος ἄπεισι πρὸς τὰ Κύψελλα, σωτήριόν τι ταῖς Θρᾳκίαις πόλεσιν ἐργασόμενος, ἃς οἱ Βλάχοι καὶ Σκύθαι κακῶς ἐτίθεσαν, ἔπειτα δὲ συλλαβεῖν τὸν Χρύσον προθέμενος ἢ γοῦν ἀνακόψαι τῶν ἐκδρομῶν ἃς ἐποίει λαθραίως τὰ περὶ τὰς Σέρρας κείρων χωρία. ἦν δ' ὁ Χρύσος οὗτος Βλάχος τὸ γένος, τὴν

3. τοῖς περὶ] εἰς τὴν μεσοθηνίαν B. 12. πηριδίῳ] εἰς τάγιστρον B. τηριδίω APW. 20. τῶν ἐκδρομῶν] ἐξερχόμενον καὶ κουρσεύοντα τὰ περὶ τὰς σέρας καὶ τὸν στρυμόνα. ἦν δὲ οὗτος ὁ χρῦσος τὸ μὲν γένος βλάχος, τὴν ἡλικίαν μέτριος, ὁμογνωμονήσας μὲν μετὰ τοῦ πέτρου καὶ τοῦ ἀσὰν εἰς ἣν ἐποίησαν ἀποστασίαν, μὴ θελήσας δὲ ἀκολουθῆσαι αὐτοὺς μεθ' ὧν εἶχε τότε πεντακοσίων. B.

catzen statim per satellitem nomine Bastralitem occidendum curat, qui adhuc in Bithyniae partibus agebat, Alexio Cilice adhuc rebellante. Bastralita vero illuc profectus eum, ut arcani aliquid ab imperatore nuntiaturus, longius a castris abducit, et stricto ense cum ipse in eum irruit, tum ii qui ad caedem subornati erant eius ministri, membratim adolescentem tanquam pecudem dissecuerunt. id factum et crudele spectaculum totus exercitus aegre tulit. Bastralita vero caput eius capsulae impositum celeriter ad imperatorem pertulit, is cum in id ante pedes suos proiectum calcibus insiliisset ac diu contemplatus esset, sermonem habuit quem historiae inseri non decet.

3. Deinde institutum iter persequens Cypsella abiit, ut Thraciis urbibus opem ferret, quas Blachi et Scythae populabantur, et Chrysum etiam comprehenderet, aut saltem excursiones eius prohiberet, quas clam in Serranum agrum faciebat. erat is Chrysus genere Bla-

ἡλικίαν συνεσταλμένος, μὴ συμφρονήσας μὲν ἀφισταμένοις Ῥωμαίων Πέτρῳ καὶ τῷ Ἀσάν, ὅτι μὴ καὶ μᾶλλον κατ' αὐτῶν ἀράμενος ὅπλα μεθ' ὧν εἶχε πεντακοσίων ὁμογενῶν, καὶ Ῥωμαίων γεγονὼς ἔνσπονδος. οὐ πολλῷ δ' ὕστερον ἁλοὺς ὡς ῥέπων πρὸς τὸ ὁμόφυλον, τῷ πρόσω βαίνων διὰ παντὸς καὶ
D δυναστείαν ἑαυτῷ μνηστευόμενος, φρουρᾷ παραδίδοται. εἶτα ἀνεθεὶς καὶ σταλεὶς ἐπὶ τῷ φρουρῆσαι τὴν Στρούμμιτζαν τὸν μὲν ἐκεῖσε πεπομφότα βασιλέα τῶν ἐλπίδων ἐψεύσατο, τῇ δὲ γνώμῃ χρησάμενος ἦν τοῖς ἐκ γειτόνων Ῥωμαίοις κἀκεῖνος κακὸν ἀδυσώπητον. πρὸς τοῦτον τοίνυν ἐξορμήσας ὁ βασιλεὺς καὶ στράτευμα ἱκανὸν ἐς τὰ Κύψελλα ἠθροικώς, μετὰ βραχὺ ἀποστὰς τῆς προθέσεως ἐρᾷ ἐπανόδου, ὡς μάτην μὲν ἐκεῖ που τὴν στρατιὰν ἁλισθῆναι, εἰκαίως δὲ καὶ αὐτὸν τὴν ἐς τὰ Κύψελλα πορείαν ἐλέσθαι. οὐκοῦν τὰ κατὰ τὴν ἑσπέραν ἀφεικὼς φέρεσθαι ὡς πρώην εἶχον καὶ ἔπασχον, ἐς τὸ Βυζάντιον ἐπανέζευξε μηδὲ δύο μῆνας ἀνασχόμενος θραυλῆσαι. καὶ ὁ μὲν τοῖς κατὰ τὴν Ἀφάμειαν βασιλείοις ἐναυλισάμενος τὸ Φιλοπάτιον ἔπειτα κατειλήφει· ἡ δέ γε βασι-
P. 315 λὶς Εὐφροσύνη συναθροῦσα τῷ νῷ καὶ συλλαμβάνουσα ὅσα κατερρέθη αὐτῆς, καὶ δεδοικυῖα τὸν σύλλεκτρον, τὰς χεῖρας
V. 259 πρὸς ἅπαντας ὤρεγεν ἐλεεινῷ καὶ ἀπεσβεσμένῳ ὄμματι, καὶ ἠντιβόλει τοὺς παρὰ βασιλεῖ πεποίθησιν ἔχοντας προστῆναί τε αὐτῆς καὶ τὰ δυνατὰ ὑπερφθέγξασθαι οὐ μόνον ἀτίμως

5. τῷ] τῆς pr A. 6. εἶτα] ὁμάσας ἀπολύεται τῆς φυλακῆς καὶ εἰς τὸ κεφαλατίκιον τῆς στρουμπίτζης πέμπεται B. 16. ἀνασχόμενος] εἰς τὸ ταξείδιον ποιήσας B.

chus, parvae staturae homo, qui in Petri et Asanis defectionem a Romanis non consenserat, ac potius foedere cum Romanis icto cum suis D militibus arma eis inferebat. sed non multo post captus ut ad populares suos inclinans, quod perpetuo progrederetur et principatum sibi parare niteretur, in custodiam datur. deinde solutus et ad Strumnizam tuendam missus imperatoris spem fefellit, eoque oppido sibi vendicato finitimos Romanos graviter afflixit. contra eum igitur profectus imperator, et iusto exercitu Cypsella convocato, paulo post domum redire cupit. ita et exercitus frustra eo convenit, et ipse frustra eam expeditionem suscepit; eoque statu occidentis relicto qui prius fuerat, ne duos quidem menses foris commoratus Byzantium rediit, et in palatio Aphamiano diversatus inde in Philopatium transiit. imperatrix vero Euphrosyne cum animo suo reputans ut apud maritum delata esset, eumque metuens, miserabili gestu manus ad omnes extendebat, obtestans eos quibus fidebat imperator, ut sui patrocinium susciperent suamque causam pro virili defenderent: pe-

ἐξωσθῆναι τῶν ἀνακτόρων κινδυνευούσης ἀλλὰ καὶ τὸν περὶ ψυχῆς ἤδη τρεχούσης. ᾠκτειρον οὖν αὐτὴν οἱ πλεῖστοι, καὶ οἱ μὲν ἀπολιγωρῆσαι τῶν κατὰ τῆς γυναικὸς εἰσηγηθέντων τὸν βασιλέα ἐνῆγον, ἐνδιέβαλλόν τε τοὺς καιεπόντας αὐτῆς ἄνδρας, ἀκανθώδεις τὸν τρόπον καὶ συρραφέας ψεύδους καὶ στρεβλοχείλους αὐτοὺς ὀνομάζοντες καὶ φιλαιτίους ἔτι καὶ μεμψιμοίρους· οἳ δὲ ὑπετίθουν μετὰ προμηθίας πλείστης τὸ γενησόμενον διαπράξασθαι, ἵνα μὴ ἀλῷ ἐκείνην εἰσοικιζόμενος ὕστερον ἣν ἀπέλυσε σήμερον ὡς μοιχεύτριαν, καὶ τὴν B
αὐτὸς αὐτοῦ αἰσχύνην διατειχνώμενος ἐσεῖται οὗτος παγκόσμιον περιλάλημα, κἀκείνοις τῶν ζώων παραβαλλόμενος τοῖς ἐκκρούουσι μὲν ἐπὶ τῶν κροτάφων τὰ ἀμυντήρια, παροξυνομένοις δὲ οὐδαμῶς οὔτε μὴν τὸ κέρας ὁπλίζουσι κατὰ τῶν ἐπιθορνυμένων ἐν ὄψεσι ταῖς θηλείαις αὐτῶν. μετὰ δὲ τοῦτο
εἰς τὰ κατὰ Βλαχέρνας ἀνάκτορα εἰσιὼν οὐκ εὐθέως τὸν κότον ἐξέρρηξεν, ἀλλὰ σύσσιτον καθάπαξ παραλαβὼν τὴν ὁμόλεκτρον, καὶ τότε τὴν ἔνδον ταραχὴν ὑποφαίνων τῷ τῆς ὄψεως σκυθρωπῷ καὶ τῷ ἄλλοσέ πῃ προσνεύοντι βλέμματι, καιόμενός τε τῷ πυρὶ τοῦ θυμοῦ, μὴ μέντοι γε καταπιμπράμενος, ἢ C
γοῦν ἀφανῶς ἐξαπτόμενος καὶ λεληθότως αὖθις ἀποσβεννύμε-

3. οἱ μὲν τοὺς ὅρκους τῆς γυναικὸς ἀνέφερον τῷ βασιλεῖ, καὶ ἔλεγον ὡς ματαίως αὐτῇ διαβάλλουσιν ἄνθρωποι οὗτοι ὄντες ψεύδους μεσιοὶ καὶ ἄστατοι καὶ τὸν τρόπον διαβολεῖς B. 7. προμηθίας] προθυμίας PAW. 10. οὗτος] οὕτω? 16. ἀλλὰ σύσσιτον] ἀλλ' ὁμοτράπεζον τὴν αὐτοῦ γυναῖκα ποιήσας, καὶ προσποιούμενος μὴ βλέπων αὐτήν, τὴν ἐντὸς τῆς αὐτοῦ ψυχὴν ταραχὴν ἐδείκνυεν ἐξάπτων ἀπὸ τοῦ θυμοῦ καὶ σβεννύμενος. δειπνῆσαι δὲ μετ' αὐτῆς ἢ ὁμιλῆσαι οὐ κατεδέξατο. B.

riculum enim esse non modo ne per ignominiam palatio eiiceretur, sed etiam ne occideretur. itaque plerique eius miserti partim sundere imperatori ut crimina uxori obiecta negligeret, et delatores eius criminari ut morosos mendaces et calumniatores; partim monere ut quod decrevisset summo studio exaqueretur, ne postmodum argui posset eam recepisse quam hodie pro adultera repudiasset, et ipse suum dedecus per totum orbem terrarum divulgaret, iis animantibus similis, quae cornua vibrarent, sed non ferirent eos a quibus femellas suas iniri viderent. post haec Blachernium palatium ingressus non statim suam iram declaravit, sed uxorem suae mensae adhibuit, quamvis tum quoque perturbationem animi tetrico vultu et averso aspectu prae se tulit; et ira aestuans, quam tamen subinde reprimebat, non amplius eius consuetudine uti nec concoenare instituit. tum illa iudicium de se fieri flagitare, quidvis perpeti non

γματος, ἀπάγειν αυτην μεσ ημερα
παντὸς ἐστερημένην ἀρχικοῦ στολι
D λαμπροῦ. ἐξάγεται οὖν τῶν ἀνα
πολλοῖς ἀδήλου, εὐτελὲς περικειμέ
γυναικῶν αἱ χερνήτιδες, καὶ δι
ἔχουσα, παραγραμματιστρίας καὶ
νῆς, καὶ δικώπῳ ἁλιάδι παραρριφ
μονὴν ἀπάγεται περί που τὸ τοῦ Ι
καὶ τῆς Νηματαρέας ὠνομασμένην
ἐκποδὼν γενομένης οἱ μὲν κατειρ
παχθῶς ὑπέφερον τὸ συμβάν, ἐπ
κροῦσαι τὴν βασιλίδα πειρώμεν
ἄνακτα, οὐ μὴν ἐκσφαιρίσαι παν
νοι ἢ γοῦν ἐκθεμελίων αὐτῶν εἰς
βασιλέα οὐκ ᾠοντο ὅλως τοιαῦτα

1. προέθετο? B οὐ κατεδέξατο.
τριαι B. καὶ δυο] μετὰ δύο γυ
συντυχαίνειν ὀρθῶς B. 19. ἐκ

recusare, si convicta esset; imperator
cognatione delatorum, sed veritate e
vero ad nullam huiusmodi rem se
nonnullis cubiculariis mulieribus hab
genter interrogatis, post dies aliquo
principatus insignibus ademptis palat
descensum quendam vulgo ignotum,
cenariae mulierculae, cum duabus b

εἰς τὴν τούτου ἀφορῶντες μαλακότητα καὶ τὸ φέρεσθαι αὖ- P. 316
ραις μικροῦ καὶ ῥιπίζεσθαι. καὶ οἱ μὲν ἐφ' οἷς τὸ γένος ἤσχυναν ἤχθοντο, εἰ καὶ μὴ ἐς ὅσον ἔδει καὶ δυσφορεῖν· καὶ οἱ ὀνειδισμοὶ δὲ τοῦ λεὼ καὶ αἱ κερτομίαι τούτου ἐπιπί-
πτουσαι κατεπίεζον. ἐξ μὲν οὖν μῆνες ἐξίκοντο, καὶ ἡ βασι-
λὶς Εὐφροσύνη τῶν βασιλείων ἀποβέβλητο. ἐς τέλος δ' ἂν παρεωρᾶτο, εἰ μή γε οἱ τρώσαντες ἰάσαντο, οὐχ ὃν τρόπον Ἀχιλλεὺς Τήλεφον, ἀλλὰ τὸ πρὸς αὐτοὺς πάγκοινον μῖσος, ὅτι τὴν δοξάσασαν αὐτοὺς οὐδὲν δέον αὐτοὶ ἀπεδόξασαν, εὗ-
ραντο πρὸς ἐπάνοδον οἵδε πανάκειαν ἄντικρυς. παντὸς γὰρ τοῦ ἐκ συγγενείας τῷ βασιλεῖ συνωμονοηκότος, καὶ τοῦ Μεσο-ποταμίτου Κωνσταντίνου πάντα κάλων, ὅ φασι, κεκινηκότος B
καὶ ἀνταρκέσαντος, ἐπανακαλεῖται αὖθις καὶ προσλαμβάνεται, καὶ ἦν ἰσχὺν τὴν προτέραν ὑπερβαλοῦσα τῇ ὕστερον. τοῖς δ'
ἀντίφροσι πρὸς οὐδέν. ἐβαρυμηνίασε προδήλως ἡ ἐδολορρά- V. 260
φησε τὰ ἀντίσταθμα, οὔτε μὴν τῇ κατοχῇ τοῦ θυμοῦ ὡς Μήδεια ἀνοίστρησε βακχευτικῶς κατ' αὐτῶν, ἀλλὰ θηροκο-μοῦσα τὸν σύζυγον καὶ πάλαι μὲν ἀποστέργοντα, τότε δὲ καὶ τέλεον αὐτῆς ἀποσχόμενον καὶ πρὸς εὐνὴν ἐκείνῃ μηδαμῶς
συνερχόμενον, σοφιστικῶς ὑπήρχετο, θωπεύουσά τε σὺν τέ-χνῃ ἐχρῆτο ὡς ᾗρεῖτο τῷ τοῦ ἀνδρὸς ἤθει, μικροῦ πᾶσαν ἀναζωσαμένη τῆς ἀρχῆς τὴν διοίκησιν. καὶ τῇδε μὲν εἶχε ταῦτα.

11. καὶ] πολλὰ καὶ τοῦ μεσοποταμίτου συνδραμόντος καὶ συνεργήσαντος καὶ πᾶσαν μηχανὴν κατασκευάσαντος καὶ οἰκονομήσαντος. B. 14. ὑπερβάλλουσα? 17. ἀλλὰ τὸν ἄνδρα αὐτῆς ἔκτοτε κολακεύουσα καὶ τὸ αὐτοῦ κατὰ πάντα πληροῦσα θέλημα, ἐπεὶ καὶ πρότερον μὲν βραδέως ὡμίλει αὐτῇ, τότε δὲ καὶ παντελῶς οὐ συναπεμίγνυτο αὐτῇ. B.

facti poenitebat, etsi non tantum quantum conveniebat: sed vulgi dicteriis et conviciis admodum mordebantur. abfuit Euphrosyna VI menses a palatio; ac prorsus abiecta et perpetuo neglecta esset, nisi ii qui vulnerarant eam sanassent (non eo quidem animo quo Telephum Achilles, sed publico populi odio impulsi, quod nulla necessitate coacti eam ignominia affecissent, a qua ipsi honoribus affecti essent) et Panaceam ad eius restitutionem invenissent. nam cum omnes imperatoris cognati consensissent, et Mesopotamita Constantinus omnem, quod aiunt, lapidem movisset, ab imperatore revocata maiorem etiam potentiam quam prius obtinuit. nec tamen delatores vel aperta vi vel occulta fraude ulta est, insigni moderationis exemplo. maritum vero iampridem a se abalienatum, tum vero eius consuetudine prorsus abstinentem, miris artibus et blanditiis reconciliavit, ut in ipsius potestate esset; omniaque fere imperii negotia suo arbitratu administravit. atque haec hactenus.

C 4. Ὁ δὲ Μεσοποταμίτης Κωνσταντῖνος (δοτέον γὰρ ἔτι τῷ λόγῳ τὰ κατὰ τὸν καθ' ἡμᾶς Πρωτέα καὶ πολυτροπώτατον ἅμα καὶ ποικιλώτατον τόνδε ἄνθρωπον) ἀνέσπα τὴν ὀφρὺν καὶ βλακῶδες ἔβαινε διὰ τὴν τῆς δεσποίνης ἐπάνοδον. καθ' ὅν, οἶμαι, λόγον μηδ' ἐξαρκεῖν αὐτῷ ἐς τιμὴν τὸ παρὰ βασιλεῖ δύνασθαι τὰ πάντα οἰόμενος, τὸ μὲν ἐπὶ τοῦ κυνικλείου ὀφφίκιον, ὅπερ Ἰσαακίου εἶχεν ἀνάσσοντος, βραβευόμενον αὖθις ὡς μὴ χωροῦν αὐτοῦ τῆς ἰσχύος τὸ μέγεθος ἀπηνήνατο, ἐκ δ' ἀναγνώστου κληρωθῆναι εἰς διάκονον ᾐρετίσατο, μὴ καὶ τῶν ἱερῶν ἐπιθιγγάνειν ἀξόνων οὐ κρίνων ὅλως ἀνασχετόν. καὶ ἦν ἡ πρόθεσις ἔργον εὐθύς, καὶ βασιλεὺς αὐτὸν κατὰ τὸν ἐν Βλαχέρναις περίπυστον καθίει νεὼν, καὶ ὁ πατριάρχης ἅμα οἱ παρῆν προχειρίζων τοῦτον ἐξ ἀναγνώστου διάκονον, καὶ στάσις αὐτῷ καὶ βαθμὸς ἀναβάσεως συγκεχώρηται πρώτιστος. τοῦτο δ' ἠνυκὼς σχηματίζεται τὸν ὑπονοστοῦντα καὶ μηκέτι τοῖς ἀρχείοις παραβαλοῦντα ἢ ὑποδρηστεύοντα βασιλεῖ ὅλως· τοὺς γὰρ κανόνας μὴ ἐνδιδόναι οἱ ὁπωστιοῦν καὶ θεῷ ἱερᾶσθαι καὶ κοσμικαῖς προσπλέκεσθαι πραγματείαις· ἀποδιεστάναι γὰρ ἄμφω καὶ μηδαμῶς συναλείφεσθαι, ὥσπερ καὶ τὸ δουλεύειν θεῷ τε καὶ μαμωνᾷ κατὰ διάμετρόν εἰσιν ἀντικείμενα. ὁ γοῦν βασιλεὺς ὅσα καὶ κιττὸς ἐξεχόμενος τούτου καὶ περιεχόμενος τύμον εὐθὺς ἐκθέσθαι τὸν πατριάρχην Ξιφιλῖνον ἠνάγκασεν, ἐνδι-

1. δοτέον] ἐπὶ τούτῳ γὰρ τῷ λόγῳ καὶ τὰ κατ' αὐτὸν διηγήσομαι. οὗτος γὰρ ὁ ἡμέτερος ἀρχηγὸς ὁ πολυτροπώτατος ἅμα καὶ ποικιλώτατος ἄνθρωπος B. 12. κατήει A.

4. Constantinus autem Mesopotamitanus (plura enim de Vertumno aetatis nostrae et homine calidissimo ac versutissimo dicenda sunt) elato supercilio insolenter incedebat ob dominae reditum; eaque de causa opinor non contentus quod apud imperatorem posset omnia, Caniclii officium, quod Isaacio imperante obtinuerat ac rursus offerebatur, ut suo fastigio inferius renuit, sed ex lectore diaconum creari se voluit, non ferendum ratus ni sacras etiam dignitates contrectaret. continuo quod libitum est impetrat: ab imperatore in inclitum Blachernium templum mittitur, a patriarcha statim ex lectore diaconus creatur, stationem et gradum principem consequitur. hoc confecto negotio, se relicturum palatium et imperatori non amplius operam navaturum simulat. neque enim permittere canones, eundem et deo sacra facere et civilibus rebus ullo modo implicari. distare illa inter sese, neque coniungi posse, quemadmodum servire deo et servire mammonae ex diametro pugnent. imperator vero eum ut hedera vitem complexus, statim patriarcham Xiphilinum

δόναι τῷ Μεσοποταμίτῃ θεῷ καὶ βασιλεῖ νεῷ τε καὶ ἀρχείοις συνδιαπλέκεσθαι, μηδὲν ὑφορωμένῳ βλάβος ἐκ τῶν κα- P. 317
νόνων οἳ τοῖς ἀμφιβίοις τούτοις δριμύσσονται δυσκολαίνοντες. τετέλεστο γοῦν καὶ τοῦτο, μικρῷ δ' ὕστερον καὶ τῆς λαμπροτάτης πόλεως Θεσσαλονίκης ἀρχιερεὺς προχειρίζεται. ἦν ἂν οὖν τὰ τῆς δόξης ταύτης κληρούμενος οὐκ ἀπόβλητος ἴσως ὁ ἄνθρωπος, οὐδ' ὧν ἐς ὕστερον πέπονθε δεινῶν αὐτὸς ἑαυτῷ παραίτιος, εἰ τῶν βασιλείων ἀπέστη λαμπρῶς, ὅρον ὑψέ ποτε τῇ ἐφέσει τῶν χρημάτων θέμενος ἢ τῆς φιλοπρά- γμονος γνώμης βραχύ τι καθυπενδούς. νῦν δὲ ἀλλ' ἡ τῶν πολλῶν καὶ μεγίστων τιμῶν, καὶ τούτων ἀνομοίων, λυσσώδης καὶ ἀπέραντος λίχνευσις καὶ τῶν χθαμαλωτέρων αὐτὸν ἐξέκρουσε, καὶ προύθηκεν εἰς παράδειγμα τὸν αὐτὸν ὕψους ὑπερφυοῦς καὶ ταπεινότητος ἀμέτρου ἢ τοῖς ἀνθρωπίνοις B
πράγμασι βραβεύουσα πρόνοια, καὶ ἀναβὰς ἕως τῶν οὐρανῶν καταβέβηκεν ἕως τῶν ἀβύσσων τῇ παλιμπνοίᾳ τῶν πράξεων. οὐκ ἀνασχετὰ γὰρ κρίνων εἰ μὴ τῇ λαιᾷ μὲν τῶν ἱερῶν ἔχοιτο πραγμάτων τῇ δεξιᾷ δὲ τῶν κατὰ τὰ ἀνάκτορα λάζοιτο, συμμάρπτων τὰς ἀρχὰς ἀμφοτέρας καὶ περισφίγγων ὅσα καὶ λίθος τῶν διεστώτων συνδέτης, ἀκρόγωνος, ἀμεταθέτως εἶχε καὶ πάλιν τῆς πρώην προθέσεως. ἀλλὰ μηδ' ἄτερ τῆς αὐτοῦ γνώμης περατοῦσθαί τι βουλόμενος, ὡς σφῆνάς τινας καὶ βλῆτρα τοὺς ἑαυτοῦ κασιγνήτους ἐνέβυσε

6. ἦν ἂν] καὶ εἶχεν ἂν τὸν θρόνον μέχρι τέλους αὐτοῦ, οὐδὲ τοσαῦτα δεινὰ ἐπάνθανεν αἴτιος ἑαυτῷ γενόμενος B. 9. τῶν χρημάτων om A. 23. βλῆτρα] μεσοχάλικα B.

privilegio concedere cogit, ut Mesopotamitano simul et deo et imperatori, et templo et palatio, sine fraude canonum, qui acerbas poenas in istos ambidextros statuunt, inservire liceat. hoc quoque peracto, non multo post Thessalonicae pontifex designatur. tantam gloriam adeptus homo fortasse non contemnendus fuisset, nec ea mala in quae post incidit ipse sibi ex parte accersisset, si plane palatio excessisset et cupiditati suae tandem modum aliquem statuisset, aut de curiositate ingenii et rerum gerendarum cupiditate aliquid remisisset. nunc multorum et maximorum honorum, eorumque inter sese dissimilium, insana et infinita affectatione etiam humiliore statu est excussus, ut divina in eo providentia et celsitudinis immoderatae et humilitatis immensae exemplum statueret, et ad caelos usque elatum insigni rerum vicissitudine ad inferos deprimeret. nam cum vitam sibi acerbam esse duceret, nisi laeva templum, dextra palatium teneret, et utrasque dignitates ut lapis angularis bina aedificii latera complecteretur, a pristino instituto non recedebat. et ne quid sine sua au-

τῇ ἀρχῇ, ἢ ὡς ἐνώτια ταῖς τοῦ βασιλέως ἑκατέραις ἀπηώ-
C ρησεν ἀκοαῖς, ἵν' εἴ ποτε τῇ ἐκκλησίᾳ παραβάλλων τῇ συνόδῳ συγγίνοιτο, μηδὲν εἴη διαπραχθὲν ἢ καὶ λεχθὲν ἀφώρατον, μηδὲ λάθῃ τις αὐτὸν εἰς τὸν ἐκείνου χῶρον παρεισιών.
V. 261 οὐ μὴν ἀλλὰ καὶ πρὸς τὴν Θεσσαλονίκην ἀφικόμενος, καὶ μικρόν τι φανεὶς καὶ ὅσον ἐνιδρυθῆναι τῷ θρόνῳ, ἐς τὸ Βυζάντιον αὖθις πτηνὸς ἀνέζευξε, μὴ περιβλέψας εἰς τὰ ὀπίσω μηδὲ στὰς ἐν πάσῃ τῇ περιχώρῳ, καὶ κατ' αὐτὸ μὲν δὴ τοῦτο ὑπερόπτης τῶν ἁπάντων γενόμενος, ὅτι τὰ πάντα τῷ δακτύλῳ μετῆγέ τε καὶ ἔφερε, μάλιστα δ' ὅτι τοῦ βασιλέως κατὰ τοῦ Χρύσου αὖθις ἐξωρμηκότος αὐτὸς ἐς ὅσα τῷ βασιλεῖ πρὸς βουλῆς τὰ κατὰ τὸν ἀποστάτην τοῦτον διῳκηκὼς ἔδοξε τακτικαῖς ἐνδέξιος ἐπιβαλεῖν ὑποθέσεσι καὶ ἀτεχνῶς βασίλειον ἱεράτευμα. ὅθεν ὅπερ ἐπὶ τῶν σωματικῶν ἕξεων
D ὁ Κῷος φησι ποιητής, ὡς εἰς τὸ ἄκρον προελθοῦσαι φιλοῦσι πρὸς τὸ κάταντες ὡς φιλυπόστροφοι μεταφέρεσθαι, μὴ ἀτρέμας ἔχουσαι μένειν τῷ συνεχεῖ ἀεὶ τῆς κινήσεως, τοῦτο καὶ ἐπὶ τῷ Μεσοποταμίτῃ συμπέπτωκεν ἄντικρυς· ἀεὶ γὰρ τοῦ προβαίνειν πειρώμενος καὶ μηδένα τοῦ δοξοθηρεῖν εἰδὼς κόρον, ἔλαθεν ὡς ὁ μυθικὸς κώνωψ ὁ λέοντι συμπλακεὶς ἀραχνίῳ λεπτῷ συλληφθεὶς καὶ πᾶσαν ἐπαναλύσας δόξαν δι' ἀτιμίας, ἣν περισπερχῶς ἀνώδευσε πρότερον, κατὰ τὸ ψαλτῴδημα τοῦ Δαβὶδ „κύψας ἦν καὶ πεσὼν ἐν τῷ κατακυριεῦσαι

1. ἐνώτια] σχολαρίκια B. 19. μηδένα] μηδεμίαν χορτασίαν ἐπὶ τούτῳ ἔχων B. 21. ἐξαναλύσας A. 22. ἀνώδευσε] καθώς φησι καὶ ὁ προφητάναξ B.

ctoritate gereretur, fratres suos tanquam clavos et vectes inserebat, ac potius velut inaures de utraque imperatoris auricula suspendebat; ut si quando ecclesiasticis conventibus interesset, nullum dictum aut factum ignoraret, nec quisquam suum se imprudente occuparet. Thessalonicam vero profectus, et vix tantisper ibi commoratus dum in solio collocaretur, summa cum festinatione Byzantium rediit. ac ea ipsa de causa contemptor omnium evasit, quod uno digito regebat omnia, praesertim cum imperatore rursus contra Chrysum profecto, suo consilio industria et opera omnibus rebus contra seditiosum quam optime administratis, magnam ingenii laudem esset consecutus. unde quemadmodum Hippocrates optimam corporis habitudinem, quod diu in eodem statu permanere non possit, periculosam esse affirmat, ita etiam Mesopotamitano accidit, qui dum semper crescere studet, dum nullum gloriolae modum statuit, instar culicis illius, ut fabula narrat, post leonem oppugnatum, exiguo aranese filo implicatus, omnem gloriam amisit; et dum in pauperes imperi-

τῶν τότε πενήτων γνώσεως." ἐς γὰρ φατρίαν οὐ μετρίαν ἀθροισθέντες καὶ κοινῇ συνελθόντες ὁπόσων αὐτὸς ταῖς κεφαλαῖς κατὰ τὴν τῆς κωμῳδίας ψύλλαν ἐφήλατο καὶ οὓς μικροῦ κατὰ κόρρης ἐρράπιζεν ὡς ἀνδράποδα, καί τινας οὐχ
5 ὑγιεῖς κατ' αὐτοῦ κατηγορίας ὡς ἀφυσγετὸν ἠθροικότες προσ- P. 318
ίασι βασιλεῖ, καὶ τὸ αὐτοῦ εὐένδοτόν τε καὶ ῥᾴδιον παντὶ καθυπάγεσθαι ῥήματι συνέριθον πρὸς τὸ ἔχθος εὑράμενοι κατέδραμον γενναίως· καὶ τὸ ἐντεῦθεν οὐ μόνον τῶν ἀνακτόρων ἐκτοπίζεται ὡς σφαῖρά τις εὐπερίγραπτος διαφθεῖ-
10 σα ἰσχυρῷ μηχανήματι, ἀλλὰ καὶ τῆς ἀρχιερωσύνης ἐξοστρακίζεται, ἑνός τινος προκοιλίου ἐς ἀγορητὴν ἐπιλέγδην παρὰ τῶν ὅλων προβληθέντος, λέγω δὴ τοῦ τότε δουκὸς τοῦ στόλου Μιχαὴλ τοῦ Στρυφνοῦ, ᾧ καὶ μᾶλλον ὁ Μεσοποταμίτης ἀντεπολιτεύετο ὡς καὶ ὑπὲρ πάντας ὄντι φιλοκερδεῖ
15 καὶ τὰ κοινὰ νοσφιζομένῳ καὶ χανδὸν καταβροχθίζοντι χρήματα. πλὴν ἀλλὰ τοῦτο μὲν οὐ πάνυ δεινόν, καίπερ ὂν δεινόν, τό τινας ἀβασανίστως καὶ ἄλλης μὲν ὑπηρεσίας ἀδίκου B
γλώττης ἀπάγεσθαι πάρεργον, μάλιστα δ' ἀποπίπτειν τοῦ τῆς ἱερωσύνης μεγίστου χρήματος. ἐκεῖνο δὲ καὶ λίαν ἀσύγγνω-
20 στον καὶ πολλὴν ἀβελτηρίαν τῶν δεδρακότων κατηγοροῦν. δεῆσαν γὰρ ἕτερον ἀρχιερέα ψηφισθῆναι Θεσσαλονίκης, ἡ τοῦ Μεσοποταμίτου καθαίρεσις κατ' ἐρήμην προτίθεται πρὸς

1. ἐς γὰρ] συναχθέντες γὰρ καὶ μία φωνὴ γεγονότες καὶ ἓν χεῖλος οἳ πρότερον ὑπ' αὐτοῦ κατεπατοῦντο καὶ εἰς οὐδὲν ἐλογίζοντο B. 9. ὡς σφαῖρά] οἷα μάπα στρογγύλη B. 11. ἑνός] ἕνα ἀπὸ τῶν ὅλων εἰς κατηγορίαν ὁ βασιλεὺς ἐκλεξάμενος B.

um exercet, inclinatus concidit, ut est in Psalmis Davidicis. nam ii quorum capitibus ut comicus ille pulex insultarat, et quibus veluti mancipiis tantum non colaphos infregerat, non parvo coetu coacto et criminibus parum sanis concinnatis imperatorem adierunt, et eius facilitate ac levitate (nam quovis verbo flectebatur) ad rei odium abusi acriter hominem insectati sunt. ex eo non modo ut parvus globus robusta machina palatio facile excussus est, sed pontificatu etiam deiectus, uno ventroso ab omnibus accusatore delecto, Michaelum Stryphnum classis praefectum intelligo, cui ut omnium avarissimo peculatori et publicam pecuniam hiantibus faucibus devoranti in primis Mesopotamitanus adversatus fuerat. verum hoc quanquam grave, non tamen adeo grave est, aliquem incomperto crimine cum alio munere, tum vero sacerdotio re maxima propter improbae linguae susurros deiici: illud vero nullam prorsus habet excusationem et insignem stultitiam arguit. nam cum alius Thessalonicae pontifex creandus esset, deliberatio de Mesopotamitani absentis abrogatione in quaestionem voca-

ματα ἐκ τοῦ δήπουθεν ἀναμφηρ
τα λειτουργίας τὸν τούτοις ἀλό
θησιν, ἐκδοὺς ἔκτοτε καὶ τῷ X
Θεσσαλονίκης ἐνεχειρίσθη τοὺς
σι τούτοις δέον ἐγκαλύπτεσθαι
των, ὡς εἴπερ πολεμίων ἐθνῶν
θωτο, ἢ θηρίον δυσάλωτον πόλε
κους διαφθεῖρον καὶ πρὸς χρόα
ὁποῖα τὰ Λιβυκά φασιν, ἢ ὅ
κων συνείληπτο, καὶ ὁ βορὸς
D μὴν ἡ πολυθύσανος αἰγὶς καὶ
ἐλήλαται καὶ διέσπασται. καὶ
V. 262 Κωνσταντῖνος καὶ οἱ τούτου δι
χρούονται διοικήσεων, ἀντεισά
νας διοικήσεις οὐκ ἐνδέων τοῦ

9. παρέντα] παρεθέντα? τό
σθαι] γωνιάζειν μᾶλλον καὶ κ
ρωπὸς B.

tur; et cum in ea criminatione qu
firma esse ad pontificatus abrogati
iussu imperatoris sive Mesopotam
ignota, temere et contra officium, a
adductis et in iudicum numerum
relatis, qui benevolentiam imper
abrogationem decernit: et praeter

μάλα τε τοὺς λόγους ἀποτορνεύειν εἰδὼς καὶ ἀπομηκύνειν εἰς περιόδους ῥητορικῶς· ὁ Εἰρηνικὸς ἦν οὗτος Θεόδωρος, καὶ παρεῖχεν ἑαυτὸν τοῖς πᾶσι κατάλληλον. συνέζευκται δέ τις ἐκείνῳ καὶ τῶν πόνων συνελαμβάνετο φιλοχρηματῶν ἱκανῶς καὶ βηχὶ συνεχεῖ κάτοχος. ἀμφότεροι οὖν ταῖς πολιτικαῖς ἐπεστάτουν πράξεσι. πλὴν τὸ τοῦ Μεσοποταμίτου πτῶμα μηδαμῶς ἐν γέλωτι ἔχοντες, ἀλλὰ διὰ παντὸς προορώμενοι καὶ τὸ τοῦ κράτους εὔκολον ὑφορώμενοι οὐκ ὄρθιοι καὶ ἀκλινεῖς, ὡς οἱ ἀκράδαντοι τῶν ἱπποτῶν, κατά τε πρανῶν καὶ P. 319
ὀρθίων ἐφέροντο, ἀλλὰ τὸ δυναστεῦον ὑποποιούμενοι ἀνείργόν τε καὶ ἀνεσείραζον ἀεὶ τὴν ἰσχύν, καὶ πολλὰ τῶν δεόντων παρέτρεχον τὴν ἀπόβασιν εὐλαβούμενοι.

5. Ἐν τούτοις μὲν οὖν καὶ τοιούτοις παραπλησίοις ἐνιαυτὸς ἔξίκετο τρίτος ἄρχοντι Ῥωμαίων Ἀλεξίῳ τῷ Κομνηνῷ. τὰ δ' ἐφεξῆς οὐδὲν ἀντιστατοῦντα τοῖς προτέροις· δίαιτα γὰρ ἦν ἡ αὐτὴ καὶ πάλιν καὶ βίος χαλαρὸς καὶ ἐξημβλυμένον φρόνημα ἀεί. τότε δὲ καὶ αἱ εἰρηνικαὶ σπονδαὶ παρωράθησάν τε καὶ συνεχέθησαν ἃς εἶχε βασιλεὺς ἐκτελέσας μετὰ Πέρσου τοῦ διέποντος τὸ Ἰκόνιον. ὁ μὲν γὰρ Καϊχοσρόης (τοῦτο γὰρ ἦν ὄνομα τῷ βαρβάρῳ) δύο Ἄραβας ἵππους ἐκ B
τοῦ σουλτὰν τῆς κατ' Αἴγυπτον Ἀλεξανδρείας τῷ βασιλεῖ στελλομένους ἀφείλετο. τοίνυν καὶ θατέρῳ τούτων τὸ γόνυ

6. πλὴν τὸ] ὅμως τὸ τοῦ μεσ. γελοῖον πτῶμα εἰς νοῦν ἔχοντες, καὶ οἷα ἐκεῖνος ἔπαθε καθ' ἡμέραν βλέποντες, οὐκ ὀρθῶς καὶ δικαίως ἐπορεύοντο, ἀλλὰ τοὺς ἐνδόξους καὶ περιβλέπτους προσέχοντες ἀεί ποτε ἐνεδυναμοῦντο, καὶ πολλὰ τῶν πρεπόντων παρέτρεχον καὶ παρέβλεπον, τὸ μέλλον σκοποῦντες καὶ τὴν ἐκ τούτου κατάβασιν B.

ac potius eloquens, Theodorus Irenicus, qui se comem erga omnes praebuit. collega ei adiunctus est alius, ab avaritia non alienus et perpetua tussi laborans. qui ambo publicis muneribus occupati Mesopotamitani casum non deridebant, sed perpetuo ob oculos habebant; et imperatoris facilitatem metuentes, non erecti et immoti ut periti equites per montes et valles ferebantur, sed velut fascibus submissis auctoritatem suam subinde astringebant, et multa necessaria praeteribant mutationis metu.

5. His et huiusmodi rebus Alexius Comnenus triennium in imperio exegit. reliqua ab eadem ratione nihil recesserunt. consuetudo mansit eadem, vita mollis et perpetuo socors ingenium. tunc foedus Iconiense violatum est. nam Caichosroes, eius urbis Sultanus, duos equos qui imperatori ab Alexandrino Sultano mittebantur eripuit; quorum alterius genu in cursu luxato, per legatos ab imperatore

την ἀεὶ αὐτῷ ἐφιστάμενον καὶ
Cσχόντα, ὡς πρῖνος αὐτίκα καὶ
πλὴν ἕτερον μὲν οὐδέν τι γενν
Πέρσου συνεώρακε διαπράξασθα
ται ἀτεχνῶς καὶ τὸ ξίφος τῷ τέ
τοίνυν ἐπιτάττει φυλακαῖς ἐνει
ἀφωρεθῆναι ὁπόσοι Ῥωμαῖοί τι
τοῦ Ἰκονίου ἁπάραντες τὸ Βυ
μὲν ἐκείνων ἐμπορεύματά τε κα
ὡς δέον οἰκειωσάμενος, οὔτ' ἐνι
ἄλλοις καὶ πάνθ' ὁμοῦ διεσκέδασ
βαρος τὸ συμβὰν ἐνωτισάμενος,
θυφεὶς μήτε μὴν εἰς δευτέραν β

2. συγγνώμην] ἔγραψε οὖν ὁ
νηθῆναι, διότι τὰ ἄλογα ἐρχ
γεῖτο καὶ τοῦτο, ὅτι δι' ἣν ἔχ
σε, καὶ διότι τὸ ἓν 'ἄλογον
ἕτερον ὡς ἀνωφελοῦς ὄντος τ
δὲ ἀγάπη πάντως δέξηται τοῦτ
ἄλλα γὰρ] ἀλλ' ἐσκορπίσθησα

veniam petiit quod eius equos int
laesionem alterum quoque mitter
omnino curaturum ne amico esset
hanc speciosam defensionem impe
decuit, aequo animo accepit, ne
modavit, neque temporum ration

μαίων ὅπλα βαστάζει, καὶ προσπεσὼν ἀπροσδόκητος ταῖς κατὰ D
Μαίανδρον κωμοπόλεσι Καρίαν τε καὶ Τάνταλον καθ' ἡλικίαν ἠνδραποδίσατο, καὶ πόλεις ἄλλας ὅτι πολλὰς ληϊσάμενος πρὸς αὐτὴν ἠπείγετο τὴν κατὰ Φρυγίαν Ἀντιόχειαν. καὶ τάχ' ἂν ἐξεῖλε καὶ ταύτην ὥσπερ χθιζὰ Καρίαν καὶ Τάνταλον, εἰ μὴ παρὰ δοξαν ἐπέστη τῷ βαρβάρῳ πρὸς τὸ ὀξὺ τῆς σκυλεύσεως οὐκ ἐκ προνοίας τινὸς ἀνθρωπίνης ἀλλά πως αὐτομάτως ἢ καὶ θεόθεν παρεισπεσόν τι συγκύρημα. ὁ μὲν γὰρ νύκτωρ ἐξαναστὰς κατὰ κράτος εἰς Ἀντιόχειαν ἤλαυνεν, ἐπιθησόμενος ὄρθριος καὶ πορθήσων τὸ πόλισμα· ἔτυχε δ' ἡμέρας ἐκείνης τῶν παρὰ τῇ πόλει δυναμένων τινὰ θύειν γάμους θυγατρί. ἦν οὖν, ὡς ἐν ταῖς τοιαύταις εἴθισται τελεταῖς, ὅμαδος ἀνθρώπων θαλιαζόντων, κύμβαλά τε δι' ὅλης τῆς νυκτὸς ἐκείνης ἀλαλάζοντα καὶ τύμπανα περικτυπούμενα καὶ ὀρχησταὶ τὼ πόδε παρενσαλεύοντες καὶ χοροὶ γυναίων τοῖς ὑμεναίοις πρόσφορα ᾄδοντες. ὡς οὖν ἤγγισε τῇ πόλει P. 320
Καϊχοσρόης, τῶν ὀργάνων ἁρμονίαν εἰς ὦτα δεξάμενος καὶ V. 263
τῆς συμφωνίας τῶν ᾀδόντων ἀκροασάμενος οὐχὶ τοῦ ὄντος κατεστοχάσατο, ἀλλ' ἀνδρῶν ἡτοιμασμένων πρὸς πόλεμον συνθήματα [εἶναι ταῦτα ὑπολογισάμενος, τὴν ἐκείνου προγνωκότων ἔφοδον, ᾗχετο ἐκεῖθεν καὶ πρὸς τὴν Λάμπην ἀφίκετο. ἔνθα δὴ ἀπογραφεῖς ἐπιστήσας τῶν αἰχμαλώτων περί τε τῆς πατρίδος ἕκαστον καὶ τῆς κλήσεως ἐπυνθάνετο, καὶ ὅστις ὁ συλλαβὼν ἀνηρώτα, καὶ εἴ τι τῆς οὐσίας ἀπολωλέ-

12. ἦν οὖν] καὶ κατὰ τὴν συνήθειαν ἦν σύναξις τῆς ὅλης χώρας ἐκεῖ, κύμβαλά τε καὶ βούκινα καὶ τύμπανα δι' ὅλης ἠλάλαζον τῆς νυκτός. B. 24. εἴ τι] τί ἀπὸ τοῦ πράγματος αὐτοῦ ἐχάωσε B.

noluit, sed armis alacriter arreptis improvisa incursione Cariam et Tantalum oppida ad Maeandrum sita vastavit. inde ad Phrygiae Antiochiam contendit, eamque fortassis aeque ac heri Cariam et Tantalum cepisset, nisi casus quidam fortuitus impetum eius divina potius quam humana providentia fregisset. nam qua nocte ad urbem opprimendam properabat, quidam homo potens filiae nuptias celebrabat. erat igitur, ut in huiusmodi festivitatibus solet, tumultus hominum convivantium. cymbala, tympana, saltatores et mulierum coetus hymenaeum cantantium per totam noctem perstrepebant. ut autem ad urbem accessit Caichosroes, audita organorum harmonia et hominum concentu, non rem ipsam coniectura assecutus, sed militum tesseras esse, qui suum adventum praecognossent, putans, ad Lampen discessit, ibique captivos describendos curavit; et cuiusque patriam et nomen, et a quo captus esset, item an aliquid suarum rerum

κει, καὶ εἴ παῖς ἢ θυγάτριον ἢ ἄλοχος ὑπό του τῶν Περσῶν ἀποκέκρυπται. καὶ τοιαύτην ἔκτιξιν ποιησάμενος, πάντα ἀποδοὺς Ῥωμαίοις καὶ κατὰ φῦλα καὶ συγγενείας πάντας ἀπομερίσας, τῆς ἐπὶ τὰ πρόσω εἴχετο. συγκεκεφαλαίωτο δὲ ἡ
B τῶν ἀνδραποδισθέντων πληθὺς εἰς πέντε χιλιάδας ἀνθρώπων. ἐν δὲ τῇ ἀπαγωγῇ ταύτῃ ἐμέλησε τῷ βαρβάρῳ καὶ ὅπως τῶν ζωαρκῶν μὴ σπανίζωνται οἱ αἰχμάλωτοι, καὶ σῖτον αὐτοῖς διαδοὺς οὐδὲ τὸ τῆς ὥρας ψῦχος παρῆκεν ἀνήκεστον· πέλεκυν γὰρ ἐγχείριον ἔχων καὶ αὐτουργῶν ἐς σχίδακας διῄρει, τυχὸν οὕτω, χρόνῳ ἀνατραπὲν γεράνδρυον. ἀλλὰ καὶ τοῖς συνδραμοῦσι πρὸς τὴν θέαν Πέρσαις ὁμοίως δρᾶν ὑπετίθετο, προσεπάγων ἅμα καὶ ὑποβάλλων τὸ τῆς ἐργασίας αἴτιον καὶ τὸ πρὸς τί εὔχρηστον αὐτοῖς ἐπιλέγων· Πέρσαις μὲν γὰρ ἐξεῖναι διὰ παντὸς ἐξιέναι τῆς παρεμβολῆς καὶ ξυλεύεσθαι, ὅτι μηδ' ἔσται τις αὐτοῖς προσιστάμενος, Ῥωμαίοις δὲ
C οὐχί, φυλαττομένοις τὸ μὴ δοκεῖν ἀποδιδράσκειν καὶ τὰ ἐκ τοῦδε ὑφορωμένοις ὡς φυγάσιν ἐπικεισόμενα δεσμά. ἐπεὶ δὲ τὸ Φιλομίλιον κατέλαβεν, ἐπαύλεών τε μετέδωκε καὶ γῆς ἐπεμέτρησε μέρος πρὸς ἐργασίαν ἀγαθῆς, σῖτόν τε αὖθις διέδωκε καὶ ὅσα τῶν ἡμέρων καρπῶν σπόριμα. ναὶ μὴν ἐλπίδων χρηστῶν ἐνέπλησε, τέλος εἰπὼν ὡς αὐτοῦ καὶ βασιλέως αὖθις φιλιωθέντων καὶ πρὸς τὰς πρότερον σπονδὰς ἀποδόντων προῖκα καὶ αὐτοὶ τὴν οἰκαδε ἐπάνοδον ἔξουσιν· εἰ δέ τι ἕτερον μεταβουλεύσεται βασιλεύς, ἐπὶ πέντε ὅλοις ἐνιαυ-

8. οὐδὲ] καὶ ἐπεὶ καὶ ψῦχος ἦν, δέδωκε καὶ ἀξινάρια καὶ τζυκούρια ἀνὰ χεῖρας ὥστε κόπτειν ξύλα καὶ ἱστίας ἅπτειν καὶ θερμαίνεσθαι, τοὺς τούρκους δὲ ἐκώλυε τοῦτο ποιεῖν B.

amisisset, et an filius aut filia aut uxor alicuius a Persa aliquo occultata esset, pervestigavit. hac inquisitione facta Romanis omnia restituit; et omnibus captivis in tribus et familias distributis, qui quinque millium numerum explebant, perrexit. in ea abductione barbaro illud quoque curae fuit, ne captivis victus deesset; et distributo inter eos frumento, ne frigus quidem neglexit, sed correpta securi ipse collapsam arborem dissecuit. et id spectaculum Persas concurrentes monuit ut idem et ipsi facerent, adiecta laboris eius causa, et quem inde fructum percepturi essent. ac Persis perpetuo licere lignatum extra castra ire, quod a nemine impedirentur: Romanis vero non item, caventibus ne fugere visi compedibus vincirentur. postquam vero Philomilium est perventum, et domicilia et agros fertiles eis assignavit, et rursus frumentum caeteraque mitia legumina distribuit; et spe bona impletis denique dixit reconciliata inter se et imperatorem gratia et foedere renovato se eos gratuito remissuram

τοῖς ἀδασμολόγητοι καθεδοῦνται, μηδένα τὸν ὁποιονοῦν ἀπόδομα εἰσπράττοντα ἔχοντες, μετέπειτα δὲ καταβαλοῦνται ὃν αὐτὸς ἀνεπαχθῆ διατάξαιτο σφίσι φόρον, οὐχ ὑπερβαίνοντα τὸν ὅρον, ὡς εἴθισται Ῥωμαίοις, οὐδὲ πρὸς τὸ πολλαπλάσιον κορυφούμενον. καὶ ὁ μὲν ταῦτα οὕτω διατεταχὼς ἐπανῆκε πρὸς τὸ Ἰκόνιον· τὸ δὲ φιλάνθρωπον τοῦτο διάγγελμα οὐδένα τῶν αἰχμαλώτων πατρίδος ἀφῆκε μνήσασθαι, ἀλλὰ καὶ πρὸς πολλοὺς ὁπόσοι πρὸς Περσῶν οὐχ ἑάλωσαν ἐς τὸ Φιλομήλιον ἐφειλκύσατο, ἀκηκοότας ὅσα τοῖς καθ' αἷμα καὶ πατριώταις ὁ Πέρσης εἰργάσατο. οὕτως ἐκ τῆς τῶν εἰς ἡμᾶς Ῥωμαίων γενεᾶς οὐχ ὅπως ἐκλέλοιπεν ὅσιος καὶ ὠλιγώθησαν αἱ ἀλήθειαι, ἀλλὰ καὶ διὰ τὸ πληθυνθῆναι τὴν ἀνομίαν ἀπεψύγη τῶν πολλῶν ἡ ἀγάπησις, ὡς τὴν παρὰ βαρβάροις ἀποικίαν πόλεις ὅλας Ἑλληνίδας ἐλέσθαι καὶ τῆς πατρίδος ἀσμένως ἀλλάξασθαι· αἱ γὰρ συχναὶ τυραννίδες τό τε ὑπ' ἀρχὴν τῆς σώφρονος διαίτης ἐξέκρουσαν, καὶ ταῖς ἁρπαγαῖς τῶν κρατούντων οἱ πλείους ἐγγυμνασάμενοι οὐδέν τι πρὸς τοὺς ὁμοφύλους μέτριον ἐνενόουν καὶ διεπράττοντο. ἀλλ' οἷα καὶ τὰ παρὰ βασιλέως πρὸς τὰ οὕτωσὶ συμβάντα διῳκημένα. στέλλει τὸν Δοῦκαν Ἀνδρόνικον νεανίαν πρώτως ὑπηνήτην τῷ Πέρσῃ συμπλακησόμενον. ὁ δὲ μεθ' ὧν ἡγεμόνευεν, ὀψὲ ποιεῖται τὴν κατὰ τῶν Τούρκων ἔφοδον. ἀμέλει καὶ νυκτὸς ἐπιθέμε- D P. 321

2. μετέπειτα] ἐγὼ ὑμῖν ἐπιθήσω τέλος πρὸς τὴν ἣν εἴχετε ῥωμαϊκὴν συνήθειαν, πλὴν οὐκ ἐν ἀνάγκῃ ἢ βίᾳ B. 8. ὁπόσοι] ὅσοι ἀπὸ τῶν τούρκων ἐγλίτωσαν καὶ οὐκ αἰχμαλωτίσθησαν B. 16. τῶν κρατούντων om A. 22. τὴν om A.

esse domum. sin aliud consilium caperet imperator, eos V integros annos immunes futuros, nullo quaestore quicquam postulaturo: deinceps vero se tolerabile tributum eis impositurum, quod non, ut apud Romanos moris sit, constitutum excedat nec multiplicetur. his ita ordinatis Iconium rediit. ea tam humana denuntiatio neminem patriae meminisse passa est, sed multos etiam a Persa non captos Philomilium attraxit, cum audissent quomodo cognati et populares eorum a Sultano tractarentur. sic ab ortu Romanorum ad nostra usque tempora non modo sancti defecerunt et veritas imminuta est, verum etiam ob iniquitatem multiplicatam caritas vulgo refrixit, ut integrae civitates Graecae patria cupide relicta ad barbaros in colonias abierint. nam crebrae tyrannides subditis sobriam vivendi rationem extorserunt; et plerique imperatores rapinis assueti nihil in suos moderati vel cogitarunt vel fecerunt. iam videamus quid imperator gesserit. Andronicum Ducam adolescentulum adhuc mittit ad bellum Persae inferendum. is cum suis Persas sero tandem aggreditur, et noctu pastores et armenta cuiusdam Amerae Arsanae adortus

νος ποιμνίταις καὶ βουκολίοις ἀμηρᾶ τινὸς Ἀρσανῆ μετ' οὐ πολὺ ἐπανέζευξεν. ἀλλὰ καὶ βασιλεὺς αὐτὸς ὡς ἀπὸ λωτοῦ καὶ Σειρήνων τῶν τρυφερῶν χωρίων τῆς Προποντίδος μόλις ἀποσπασθεὶς κατὰ Νίκαιαν καὶ Προῦσαν ᾠφίκετο, οὐκ ἀντιμετρήσων ἢ ἀνταποδώσων τοῖς Πέρσαις ὧ ἐμέτρησαν καὶ ἀνταπέδωκαν ἡμῖν ἀνταπόδομα, ἀλλ' ἵνα μὴ τὰς ἐκεῖσε πό-
B λεις καὶ χώρας κακῶς διάθωνται τῶν τοῦ Βάθους ἐξαναστά-
V. 264 τες μερῶν, ἐν οἷς οὐ μέτριοι τότε ηὐλίζοντο. πλὴν καὶ βασιλεὺς μῆνα τοῖς ἐκεῖσε ἕνα προσδιατρίψας ὀξέως ἐπάνεισιν εἰς Βυζάντιον. ἀνατείλαντος δ' ἔαρος γίνονται πάλιν συνδρομαὶ τῶν στρατευμάτων καὶ συλλογαὶ μεθ' ὅσης οὐκ εἴπη τις ἂν ὁρμῆς καὶ συντονωτάτης ἐπειγωλῆς, ἐπεὶ καὶ ταῖς πολλάκις τοῦ ἔτους συνόδοις καὶ ταῖς συχναῖς συντάξεσιν ὁ στρατὸς ἀποκναίσαντες στῆναί τε τῶν ἐπαλλήλων συνελεύσεων ἤρων καὶ τῆς οἴκοι ἀναβολῆς ἐγλίχοντο. ὡς ὑπὲρ ἰσχὺν τοίνυν ἀγωνιούμενοι συνελέγησαν, καὶ ἢ κρείττους τῶν ἀλλοφύλων ἐσόμενοι ἢ μετ' εὐκλείας ὑπὲρ τῶν πατρίδων ἀποθανούμενοι. καὶ οὕτω μὲν αἱ δυνάμεις ὡς εἰς ἓν στρατόπεδον τὰ Κύψελλα συνηθροίζοντο.

C 5. Ὁ δὲ βασιλεὺς αὐτογνωμονῶν ἀποθαρρεῖ ὕπερ ὃ λόγος λέξων ἔρχεται. ἔπασχε τὰ ἄρθρα τοῦ σώματος κατὰ κύκλον οἱονεὶ καὶ περίοδον, τοὺς δὲ πόδας καὶ μάλιστα ὕλης ἐνσκηπτούσης μοχθηροτέρας καὶ ὀδύνας δυσποίστους ἀποτι-

1. ἀρσινῆ A. εἰς ἕνα τόπον εἰσελθὼν καὶ πρόβατα καὶ βόας ἀμηρᾶ τινὸς ἀρσανὴ καλουμένου μετὰ τῶν πιστικῶν λαβὼν B. 2. λωτοῦ] γλυκοκαλάμου B. 3. τῆς Προπ.] τοῦ κατὰ στενοῦ B. 7. τῶν τοῦ] οἱ ἀπὸ τοῦ μέρους τοῦ λεγομένου βαθέου ῥύακος B. 21. κατὰ κύκλον] κατὰ τὴν τῆς σελήνης ἔκλειψιν B.

non multo post recessit. sed et ipse imperator ab amoenis Propontidis locis aegre tanquam a loto aut cantu Sirenum avulsus, Nicaeam et Prusam est profectus, non ut Persas ulcisceretur, sed ne ex Batho digressi, ubi magnus eorum numerus stativa habebat, urbes et agros finitimos popularetur. nec amplius uno mense ibi exacto, Byzantium rediit. inchoante vere denuo cum summa festinatione coguntur exercitus. milites enim frequentibus eodem anno expeditionibus fatigati ea molestia carere et diutius domi manere cupiebant. concurrunt igitur ut ultra dimicaturi, et aut superaturi barbaros aut pro patria occubituri. ita copiae Cypsella ut in una castra convenerunt.

5. Ausus est et imperator sua sponte id quod iam dicam. morbo articulari per certa intervalla laborabat, et dolore pedum in primis affligebatur, peiore materia eo delabente et cruciatus intolerabi-

χτούσης, ἐξ ὧν ἀκινησίαι τε προσεπήγοντο τοῦ πάθους φλεγμαίνοντος καὶ λάβροι πυρετοὶ πολλάκις ἐπήγιζον. κατά τινα οὖν ἡμέραν τὰς θύρας τοῦ κοιτῶνος ἐπιζυγώσας, ἄλλῳ μὲν οὐδενὶ τοῖς δὲ προκοίτοις ἐκφήνας τὸ ἀπόρρητον, σιδήρια πυρακτωθέντα τοῖς σκέλεσιν ἐπιτίθησι, καὶ εἰς βάθος τὸν καυτῆρα ἐπαγαγὼν τὰ μὲν πρῶτα φιλοσοφῶν τὰς ὀδύνας πρὸς τὰς καύσεις τῶν ποδῶν ἀπεμάχετο, μεθ' ὕβρεών τε τοὺς ἰατροὺς ἀπεπέμπετο, περὶ μόνα τὰ καθάρσια τούτους λέγων ἀεὶ στρέφεσθαι καὶ μηδέν τι πλέον τῶν κενωσίμων εἰδέναι καὶ μετιέναι τοῖς κάμνουσιν ἴαμα. τὰ δ' ἐφεξῆς φλεγμοναὶ τῶν καυτηριῶν καὶ περιωδυνίαι τῶν πρώην δριμύτεραι. ἰατροὶ ἐπὶ τούτοις εἰσκεκλημένοι οὐχ ὁ μὲν ὁ δ' οὔ, ἀλλὰ πάντες κοινῶς. πρὸς δὲ τούτοις καὶ δέος ὑποθρᾶττον τὸ αἷμα, μή πως τὸ τῆς ὕλης μεθιστάμενον, τῆς περὶ τοὺς πόδας καθόδου ἀνακοπέν, εἴς τι καίριον ἐνσκήψῃ μέρος τοῦ σώματος, καὶ αὐτὸν μὲν παρασύρῃ τοῦ ζῆν αἰφνηδόν, ἡ δ' ἀρχὴ μεταπεσεῖται παρὰ δόξαν πρὸς ἕτερον. οἱ μὲν οὖν τῶν σωμάτων θεραπευτῆρες φαρμακεύειν αὐτὸν ἐγνώκεσαν· οὕτω γὰρ ἂν τὸ τῆς ὕλης κινούμενόν τε ἅμα καὶ πλεονάζον γαληνιάσειε ταῖς κενώσεσι. καὶ ἦν τὰ φάρμακα ἡμαρ παρ' ἡμαρ σχεδὸν κεραννύμενα, καὶ τὸ ἀνύσιμον αὐτοῖς ἐφωμάρτει. ἡ δὲ βασιλὶς Εὐφροσύνη ἐφρόντιζε μὲν καὶ τῆς ὑγείας, ὡς εἰκός,

2. λάβροι] πυρετοὶ διακαεῖς αὐτὸν ἐξέκαιον B. 8. περὶ μόνα] ὡς μηδὲν ἄλλο γινώσκοντας ἢ ποτίζειν μόνον βοηθήματα καὶ καυχωμένους δ' αὐτῶν τὴν βοήθειαν ἀνθρώποις παρέχειν B. 12. οὐχ ὁ μὲν] οὐχ εἷς καὶ εἷς ἀλλὰ πάντες ὁμοῦ. καὶ φόβος ἦν παρὰ τοὺς αὐτοῦ συγγενεῖς μήπως B.

les excitante, qui et motum adimebant et acres febres inflammabant. quadam ergo die foribus cubiculi clausis arcanum nemini praeterquam cubiculariis indicat; et ferramentis candentibus in tibias profunde impressis principio dolores animo philosophico perfert et contumeliosis dictis medicos repudiat, quod in solis purgationibus versari didicissent, neque quicquam remedii ultra evacuationes adhibere scirent. deinde vero ustionibus inflammatis, et maioribus doloribus subsecutis, medici non singulatim sed omnes simul convocati sunt, cognatis eius metuentibus ne decursus humorum ad crura impeditus principali aliquo membro insesso necem illi subito inferret, et imperium praeter expectationem ad alium transferretur. ac medici pharmaca ei praebere decreverunt, ut commotio simul et redundantia humorum egestionibus sisteretur. itaque medicamenta singulis fere diebus temperabantur, neque sane frustra erant. at imperatrix Euphrosyne, quanquam de valetudine mariti ut par erat

σιν ἐφεπομένη, τῷ δὲ καλλει πρ
κει τῷ Κομνηνῷ, ὃς κατὰ Μυσί
Β ὡς ἐν τοῖς ἔμπροσθεν λόγοις εἰρ
ψηφηφορίαι τῶν ἀρξόντων ἄλλαι
πᾶσαι πρὸς τὸ τῶν προβαλόντα
δ' ἀξίως βασιλεύσοντος Ῥωμαί
διακυβερνήσοντος πράγματα οὐ
ὥστε ὑπὸ τῶν ἀβελτέρων καὶ νή
σπαργάνοις ἐνειλημένα πρὸς τὴ
μέντοι τῶν ἐν γένει καὶ πλούτῳ π
στρατωρ Μανουὴλ ὁ Καμύτζης
θείῳ τῷ σεβαστοκράτορι Ἰωάννῃ
ἀντωφθάλμει. οἱ δὲ τοῦ βασ
C καὶ παρ' Ἀνδρονίκου τυφλωθέ

1. μετὰ τῶν ὧν εἶχε συνήθει
ὥστε] καὶ τοσοῦτον ὅτι καὶ
τὴν τῆς βασιλείας ἀρχήν B.
σης A.

sollicita, tamen cum iis quibus arca
re imperii magis deliberabat, ne
sed potius amicus. nam imperator fi
taxat filias, easque viduas: nam
stephanus obierat, Anna vero ut
or, Isaacio Comneno nupta fuerat
ut supra narravimus. igitur alii a
sed omnes qui iis opportuni esse

ἀδελφῇ αὐτῶν γαμβρὸς ὁ Καντακουζηνὸς Ἰωάννης ἐξόμματος V. 265
καὶ αὐτὸς δεικνύμενος, παισὶ τοῖς ἑαυτῶν τὴν ἀρχὴν ἡνδρολόγουν. ἦσαν δ' οἳ χθές τε καὶ πρώην διαμασσώμενοι τὰ δρυόκαρπα καὶ τὰ Ποντικὰ ὕεια κρέα ἐπὶ στόματος ἔτι φέροντες ἐπείρων καὶ ἤρων τῆς βασιλείας μάλα λαμπρῶς, καὶ ὅλοις ἐς αὐτὴν περιέργοις ἐνητένιζον ὄμμασι, προαγωγοῖς καὶ προμνήστορσι χρώμενοι ὁπόσοι τῶν ἀγοραίων ὤνιοι χρημάτων καὶ κοιλιόδουλοι, ὡς μακρῷ κάκιον τοῦ καθ' ἕνα τὸ κοινῇ γινόμενον ψήφισμα. ὦ περίπυστον πρᾶγμα Ῥωμαίων ἀρχή, καὶ πᾶσιν ἔθνεσι ζηλωτὸν καὶ προσκυνητὸν ἄξίωμα, οἵους ὑπήνεγκας βιαστάς! οἷοί σοι ἐπανέστησαν ὕβρισταί! D
οἷοί σοι ἐπεμάνησαν ἐρασταί! οἵους ἐνηγκαλίσω! οἵοις ὑπέθηκας ἑαυτὴν καὶ φιλοτήτων μετέδωκας ἑταινιώκεις τε τῷ πτεφάνῳ καὶ περιέβαλες τὸ διάδημα καὶ τὸ φοινικόχρουν περιέδησας πέδιλον! θυμαλγέστερά εἰσιν ὄντως τὰ σὰ ὧν πέπονθε Πηνελόπη παραλληλιζόμενα, καὶ κατ' οὐδὲν ἀπέοικας βασιλείας γυναικὸς πανευδαίμονος, σεμνῆς τὸ κάλλος, εὐφυοῦς τὸ μέγεθος, εὐπρεποῦς τὴν ὄψιν, ἑαλωκυίας μέντοι χερσὶν ἐραστῶν ἀναιδῶν μηδὲ τιμωμένων ὀβολοῦ παρ' ἐχέφρονιν, οὔτε μὴν ἐχόντων τὸ μεγαλοπρεπὲς αὐτῆς συνιδεῖν μηδ' εὐλαβουμένων τὸ ὕψος μηδ' ὑποστελλομένων τὸ εὐγενές, ἐνίοτε δὲ καὶ πρὸς ὕβριν περιελκόντων καὶ εἰς κοίτην ἀπαγόντων

1. ἐξ ὀμμάτων A. 3. οἳ χθές] οἳ τὰ βαλάνια καὶ τὸ λαρδὶν τρώγοντες πρὸ ὀλίγου καὶ αὐτοὶ ἐπεθύμουν τὴν βασιλείαν B. διαμασσώμενα APW. 9. ὦ περίπυστον καὶ ἐξάκουστον ἄκουσμα ἡ τῶν Ῥωμαίων ἀρχή, ἡ παρὰ πάντων τῶν ἐθνῶν φθονουμένη B. 13. ἑταινιώκεις etiam A. 15. ὧν] οἷς A. 19. μηδὲ] μηδενὸς ὀβολοῦ ἀξιαζόντων B.

ebant. erant etiam qui Ponticarum nucum et suillarum carnium reliquias adhuc in dentibus gestantes, imperium haud dissimulanter et marent et ambirent, et curiosos in id oculos defigerent, sed proubis seu lenonibus utentes hominibus circumforaneis, qui ventri erviebant et pecunia facile corrumpebantur. quanto deterius est suffragium multorum quam unius! o celebre Romanorum imperium, et mnibus gentibus admiranda et adoranda maiestas, quales tyrannos ertulisti! quibus iniuriis exagitata es! quales amatores in te insalerunt! quales homines es amplexa! qualibus te substravisti et oscu praebuisti! quales corona et diademate et purpureo calceo exnasti! graviora utique ab illis pertulisti quam Penelope a procorum equentia. nimirum ab omni parte similis es regiae matronae felissimae, forma venerabili, iusta magnitudine, vultu venusto, sed iptae impudentium amatorum manibus, quos cordati homines vix entusse liceantur, qui magnificentiam illius aestimare nequeant, celsi-

ἀθέμιτον. αἳ αἳ τῆς αἰσχρουργίας! οἷα πέπονθας, οἷα τε-
P. 323 θέασαι! ὄψις πόρνης ἐγένετό σοι χρῆμα περίπυστον καὶ πρᾶγμα περίδοξον. καὶ φροῦδον μέν σοι τὸ ἀπέριττον ἐκεῖνο κάλλος καὶ τὸ τοῦ προσώπου αἰδήμον καὶ ἡ σώφρων καὶ προτέρα ἐγκρατὴς δίαιτα, περίεργον δὲ καὶ μετεγγραφὲν ἐν-
τρίμμασι καὶ φαρμάκοις τὸ σὸν πρόσωπον, καὶ διεσκεύασαι πρὸς τρυφὴν καὶ πρὸς ἦθος ἀκόλαστον μετερρύθμισαι· οἱ γάρ σε βιασάμενοι τὴν πρώην ἀπεριέργως καλὴν καὶ τὸ εἶ-
δος ἀγαστὴν καὶ ἐπέραστον πρὸς τὸ ἑταιρικὸν μετεπλάσαντο σχῆμα. πότε ἀναλήψεις τῆς ἀμύρρου ταύτης εὐμορφίας καὶ
τοῦ δυσειδοῦς εἴδους καὶ τοῦ ἐπιποιήτου βλέμματος καὶ βα-
δίσματος; ἢ τίς ὁ ἐξάξων σε τῶν πρὸς βίαν τυραννικῶν τού-
των περιπλοκῶν καὶ πρὸς τὴν πρώην ἐπανάξων ἀκαπήλευτον
καὶ ἐλευθέραν διαγωγήν; ὡς νῦν γε καὶ τὸν οἶκτον εἰς γέλων
B μετενεγκεῖν κινδυνεύομεν, οἷς οὐ δεῖ συμφερομένην ὁρῶντες
σε, καὶ τὰ τῆς ἀσχημοσύνης προβλέποντες δεδίαμεν μὴ εἰς
τέλος ἀφαντωθείης καὶ καταρραγείης εἰς πτῶμα τὸ δυσανόρ-
θωτον. ἀλλ' εἶεν.

Ὁ δὲ δὴ αὐτοκράτωρ μήπω καθαρῶς ἀνασφήλας τῆς νό-
σου μηδ' ἐπὶ τῶν ποδῶν στῆναι δυνάμενος ἔξεισι καὶ ἄπεισι
πρὸς τὰ Κύψελλα, ἐξαρτύσας ὅσα πρὸς πόλεμον ἄραρεν.

1. οἷα τεθέασαι] οἷα εἶδες ἢ ἀθεώρητος B. 3. φροῦδον] εἰς μάτην εἶχες τὸ πρότερον ἐκεῖνο κάλλος καὶ τὴν εὐκατάστατον ἐντροπὴν καὶ τὴν τῆς σωφροσύνης ἀκριβῆ δίαιταν B. 14. καὶ ἐλευθέραν om A.

tudinem non revereantur, nobilitate nihil moveantur, aliquando etiam eam per contumeliam in nefarium cubile pertrahant. hei dedecus, hei flagitium, qualia perpessa es! qualis visa es! facies meretricis, o inclita et celebris maiestas, contigit tibi. evanuit naturalis illa tua pulchritudo et vultus verecundia et frugi pridem et modesta vitae ratio. nunc faciles tua luxu et fucis est corrupta; ad delicias exorbitasti, ad mores dissolutos deflexisti. nam qui tibi vim fecerunt pridem citra curam formosae, vultu admirabili et amabili praeditae, ad meretricium habitum te redegerunt. quando istam deformem formam exues? quando accersitum aspectum et gressum mutabis! quis te a tyrannicis istis amplexibus per vim vindicabit, et ad veterem castimoniam et libertatem reducet! nam nunc quidem parum abest quin te ridemus potius quam miseremur, eorum utentem consuetudine qui te dedecent; atque id opprobrium intuentes, vereamur ne prorsus delearis et ad extremum corruas.

Sed ad institutum redeamus. imperator nondum plane recuperata valetudine cum pedibus nondum insistere posset, Cypsella abit rebus ad bellum gerendum necessariis instructus. verum illo adhuc

αὐτοῦ δ' ὄντος ἐν καχεξίᾳ, Σκύθαι μετὰ μοίρας Βλάχων τὸν Ἴστρον διαβάντες τοῖς Θρᾳκικοῖς πολίσμασιν, ὁπόσα περὶ Μεσήνην καὶ Τζουρουλόν, καὶ τὰ ἔτι τούτων ἐχόμενα ἐξ ἐφόδου ἑκείρον κατ' αὐτὴν τὴν ἑτήσιον μνήμην Γεωργίου τοῦ χριστο-
μάρτυρος. ἦν μὲν οὖν, ὡς ἤδετο, τοῖς βαρβάροις σκέμμα C
καὶ σύνθημα πρὸς τῶν ἡγεμόνων τῆς ὁδοῦ δοθὲν ἐς τὸ Κουπέριον ἀφικέσθαι (τὸ δέ ἐστιν ἐκ γειτόνων τῆς Τζουρουλοῦ διακείμενον, ἔνθα ἤγετο τηνικαῦτα τῷ μάρτυρι ἑορτὴ καὶ πανήγυρις συγκεκρότητο), ἁμίλλης δὲ περισπασθείσης ἔωθεν
χαμαιφερῶς τὸ μὲν πολὺ τῶν βαρβάρων τῆς προκειμένης ἀπορραγὲν εἰς χωρία μετέρρευσεν ἕτερα, μέχρι καὶ τοῦ παράλου Ῥαιδεστοῦ κατιόν, μοῖρα δέ τις αὐτῶν περὶ τὸ Κουπέριον ἐνσκήψασα εἰς μὲν τὸν ναὸν καὶ τὸ περίαυλον οὐκ εἰσήλθοσαν· τὸ γὰρ συνελθὸν πλῆθος ἐπὶ τῷ τὰ ὅσια τελέσαι
τῷ μάρτυρι, δρᾶσαί τι μᾶλλον φθάσαν ἢ παθεῖν ἀναμεῖναν κεκρικὸς δέον, ἁμάξας ἀγηοχὸς καὶ τὸν νεὼν περιφρα- V. 268
γμῶσαν κατὰ τὴν πρώτην εὐθὺς τῶν βαρβάρων ἐπέλευσιν τὰ ἐκεῖσε πεποίηκεν ἄβατα ἄλλως τε καὶ τοῖς Σκύθαις ἀπείρητα τειχομαχεῖν τὰ ἐν κώμαις ἑκτρεπομένοις ἐς δεῦρο καὶ πόλεσιν D
ὀχυρώματα, ὡς οἷα πρὸς τὴν πρώτην ὁρμὴν κατὰ λαίλαπος κίνησιν ἀναρριπτόντων τὰ ἐν ποσὶ καὶ πρὸς ἤθη τὰ οἰκεῖα μεταχωρούντων. τοὺς δέ γε τοῦ νεὼ ἀφεμένους καὶ πρὸς τὰ

3. τζουρουλὼ B. 7. τζουρουλῶ A, τζουρουλὼ B. 10. τῆς προκειμένης] τὴν στρατιὰν χαώσαντες B. 13. εἰς — εἰσήλθοσαν add B. 16. ἁμάξας συνάξαντες καὶ περιφράξαντες καὶ τούτων ἐπάνω πύργους ποιήσαντες B. 18. ἀπείρητα A. B ἄλλως τε δὲ ὅτι οὐδὲ οἱ κόμανοι κάσιρα ἤθελον μάχεσθαι, ἐπεὶ ἕτερα χωρία κουρσεύειν χωρὶς μάχης ηὕρισκον. 21. ἔθη APW.

male affecto, Scythae cum cohorte Blachorum Istro traiecto Thracia oppida Mesenae et Zurulo finitima in ipso divi Georgii martyris festo subita incursione populantur. ac decrevisse barbari et eam tesseram a ducibus accepisse ferebantur, ut Cuperii convenirent. locus is est non procul Zurulo dissitus, ubi tum festum martyris magna hominum frequentia celebrabatur. sed mane humili nebula orta, maxima barbarorum pars in alia loca est delata et usque ad maritimam Radaestum descendit. pars tamen eorum quaedam in Cuperium irrupit. caeterum multitudo quae ad festum convenerat, potius rata vim propulsare quam tolerare, curribus templum vallavit, et primae barbarorum incursioni aditum facile interclusit, cum Scythae pagos oppugnare non solerent, et nunc etiam urbium munitiones deliment, ut qui turbinis instar primo duntaxat impetu obviis quibusque vastatis domum sese recipiant. eos tamen qui omisso templo Zurulum

εἶναι τοὺς συνεκθόντας τῶν ἐν
θνάναι παρακούσαντας. νῦν δὲ ὁ
ταξάμενος καὶ λαμπρῶς τῶν κάτω
στὸν τριβώνιον ἐθελοντὴς ὑποδύ
αὐτὸν διαδράσειε τοῦ λεὼ διασπα
πῳ ἐνέβυσε καὶ ὡς ἐν σκότει τῇ μ
δ' ἀγειρομένοις προύλεγεν, ὡς ει
τερος ὁ τῆς ἐννοίας, ἔνθα τὸ κ
τατος, ὡς οὐδέν τι πείσονται ἀ
B πολλὰ τὴν ἀλήθειαν τυραννοῦσαι
καὶ οὕτω μὲν οἱ Σκύθαι λείαν ἐλ
ὁ δὲ τὴν Βυζίην φυλάσσων Ῥω
νιέναι τοὺς Σκύθας, τὴν ἐπ' αὐ
συνέβαλον ἀμφότερα τὰ στρατι
φόνος τε καὶ τροπὴ γίνεται τῶν

4. ὁ κάκιστ'] ὁ παγκάκιστος
ἀντιγόνου ἐλθὼν ἐπὶ τὸ κομερ
ὁ ἐκεῖσε κεφαλατικεύων B.
τὸ χαλκοῦν νόμισμα B. 21

petebant omnes interceperunt. ver
issent, nisi perditissimus Racendy
venerat, Branae Theodori, qui ei
visset. edixerat autem ne populus
rum incursionem indicarat, opti
incolumes esse an spretis suis m
mundo prorsus renuntiarat, qui p

λωσίας πλεῖστον ἀνίεται, καὶ τοῦτ' ἐπὶ βραχύ· ἡ γὰρ σύμφυτος καὶ μανιώδης κἀπὶ τοῖς μηδαμῶς καθήκουσιν ἀμετάθετος Ῥωμαίων λίχνευσις τὴν νίκην διέφθειρεν. ὅλοι γὰρ τοῦ ἁρπάζειν καὶ μεταφέρειν γινόμενοι ἅπερ ἦγον οἱ Σκύθαι τὰς Ῥωμαϊκὰς χώρας πορθήσαντες, τὸ ἀπιὸν καὶ δραπετεῦον πολέμιον ἐπέστρεψε καθ' ἑαυτό, καὶ παλίωξιν ἐντεῦθεν εἰργάσαντο.

ΤΟΜΟΣ Γ ΤΗΣ ΒΑΣΙΛΕΙΑΣ
ΑΛΕΞΙΟΥ ΤΟΥ ΚΟΜΝΗΝΟΥ.

1. Καὶ τῇδε μὲν καὶ ταῦτα συμβέβηκε, βασιλεὺς δ' ἀπάρας ἐκ τῶν Κυψέλλων τῇ Θεσσαλονίκῃ ἐφίσταται, κἀκεῖθεν ἀναστὰς κατὰ τοῦ Χρύσου ὁρμᾷ. οὗτος γὰρ τὴν Στρούμμιτζαν ἰδιωσάμενος, Βλάχος ὢν τὸ γένος, καὶ φρούριόν τι ἀπολαβὼν λεγόμενον Πρόσακον ἐς τυραννεῖον ἑαυτῷ κατεσκεύασε, κρατύνας παντοίως τὸ ἔρυμα, ὅπερ ἡ μὲν φύσις ἀρχῆθεν P. 325 V. 267

3. λίχνευσις] λειξουρία B. 8. Γ] δεύτερος B 9. KOMN.] ἀγγέλου B. addit A ἔνθα καὶ διήγησις, PW ἔνθα καὶ διήγησις τῶν συμβάντων τῇ μεγαλοπόλει ἀνιαρῶν. 13. Βλάχος ὢν τὸ γένος om A, habet B. 14. εἰς τυραννεῖον καὶ κάθισμα αὐτοῦ αὐτὸ ᾠκονόμησεν B.

maximam praedae partem recuperat, eam tamen non diu tenet. nam Romanorum naturalis et insana et in rebus minime convenientibus contumax avaritia victoriam corrupit; qui cum toti in eo essent ut Scythis praedam ex agro Romano receptam extorquerent, eos qui fugiebant in se converterunt et vicissim fugati sunt.

IMPERII
ALEXII COMNENI
LIBER TERTIUS.

1. His ita gestis imperator Cypsellis Thessalonicam proficiscitur. inde contra Chrysum iter intendit qui Strumiza sibi vindicata castellum quoque Prosacam, et natura et opere munitissimum, pro regia occupavit. sunt enim solidae rupes bifidae, inter se contiguae,

φιλοτίμως ἐξεῦρέ τε καὶ ἀνέδωκε· πέτραι γάρ εἰσιν ἀπορρῶγες δισχιδεῖς, συνεπτυγμέναι ἀλλήλαις, μία δ' ἐς αὐτάς ἐστιν ἄνοδος στενὴ καὶ βίαιος καὶ ἀμφίκρημνος, ἡ δὲ λοιπὴ περίμετρος τῶν πετρῶν αἰγίλιψ ἅπασα καὶ ἀπρόσβατος, καὶ ποτα-
B μὸς βαθυδίνης ὁ Ἄξιὸς ἀμφιπερικλώμενος ἐπιτειχίζει ταύτας παραλογώτερον· ἐλθοῦσα δ' εἰς ὕστερον ἡ τέχνη ἀνθαμιλλήτρια τῇ φύσει ἀναλώτους αὐτὰς μικροῦ ἐτεκτήνατο· τείχη γὰρ ἀρραγῆ διειληφυῖα κατὰ τὴν ἐνδοθεῖσαν ἄνοδον ὑπερφυὲς τετέλεκεν ὁρμητήριον. ἀλλὰ τὸ τοιοῦτον ἔρυμα τὸν Πρόσακον Ῥωμαῖοι μὲν πάλαι παρεῖδον, Βουλγάρων ἀφροντιστοῦν-
τες, καὶ κατέλιπον ἔρημον, ὁ δὲ Χρύσος ἐπιποιήσας εἶχε
V. 268 κατὰ Ῥωμαίων ἀπρόσμαχον σίκητήριον, πᾶν ὅτι περ ὅπλοις τρόφιμον ἐκεῖσε συνηλικῶς, ἀφετήριά τε ὄργανα περιστήσας καὶ τὰ πρὸς τὸ ζῆν ἐνθέμενος ἄφθονα, ποίμνιά τε καὶ βουκόλια κατ' ἀγέλας ταῖς ἀκρωνυχίαις ἀνεὶς νέμε-
σθαι· οὐ γὰρ εὐπερίληπτος ἡ τοῦ φρουρίου τοῦδε περί-
C μετρος, ἀλλ' ἐς ὅτι πλεῖστον εὐρύνεται καὶ μηκύνεται, καὶ ἄλσεσιν ἐξ ὄμβριων κομᾷ, καὶ χωρίοις δρυμώδεσι βέβριθεν. ἑνὸς δέ τινος καλοῦ, καὶ τούτου ἀπαραιτήτου, καλλίστου καὶ κρατίστου τὸ φρούριον στέρεται· οὐδὲ γὰρ βρα-
χείᾳ τις ὕδατος λιβὰς ἐκεῖ που ἐκδίδωσιν, οὐδὲ φρεατιά εἰσιν ὀρυκτά, ἀλλὰ δεῖ ἐς τὸν ποταμὸν κατιέναι καὶ ὑδρίαις

1. πέτραι γάρ εἰσι συγκεκωλυμμέναι ἀλλήλαις, σχίσμα μέσον ἔχουσαι, ἄνοδον δὲ μίαν στενὴν καὶ βιαστικὴν καὶ κρημνώδη γύρωθεν δὲ ὁμαλαὶ αἱ πέτραι καὶ ἀπίαστοι διὰ τῶν χειρῶν. περιτριγυρίζει δὲ ταύτας ὁ ἀξειὸς ποταμὸς ὁ νῦν βαρδάριος λεγόμενος βαθὺς καὶ ἀπάτητος. B. 12. ἀπρόσμαχον] μέγα ἀκούμβισμα καὶ ὀσπήτιν ἀφρόντιστον B. 16. περίμετρος] περίοδος A, περίορος B. 18. ἄλσεσιν] δασώματα δένδρων ἔχει ἀπὸ ὑδάτων βροχῆς B. 20. οὐδὲ γὰρ] οὐ γὰρ ἔχει ἐντὸς βρύσιν ἢ πηγάδιν ἢ σταλαγμόν τινος ὕδατος, ἀλλὰ κατίεχονται εἰς τὸν ποταμὸν καὶ ἐπαίρουσι τὸ νερὸν καὶ πίνουσι. B.

in quas unus patet aditus angustus difficilis et praeceps: reliquus ambitus rupium vel capreolis inaccessus est, eas amnis Axius profundus amnis eas, quod mirere, circumfluit. deinde ars aemula naturae pene inexpugnabiles eas fecit, et firmissimis moenibus in aditu structis mirabile propugnaculum absolvit. id castellum Romani olim nihil de Bulgaris solliciti desertum et neglectum iacere passi sunt. Chrysus vero domicilium ibi tutissimum constituit. praesidio veteranorum imposito, tormentis in circuitu dispositis et commeatu abunde importato, greges et armenta in verticibus montium vagari et pasci sivit. neque enim castelli ambitus facile comprehendi potest, qui longe lateque patet, saltibus etiam et nemoribus floret. uno tamen bono

ἀρύσασθαι τὸν ποτόν. τοιούτου τοίνυν ἐρύματος ἐγκρατὴς ὁ Χρύσος γενόμενος πρὸς οὐδὲν ὅτι κατ' αὐτοῦ βασιλεὺς ἔπεισιν ἐτετάραχτο, ἀλλ' ὡς ἀντιταξόμενος ἡτοιμάσατο. τοῖς μὲν οὖν ἐν πείρᾳ πολέμου Ῥωμαίοις, εἴ τίς που τέως καὶ ὑπολέλειπτο, καὶ οἷς ἡ τῶν ἐκεῖσε θέσις χωρῶν οὐδαμῶς ἠγνόητο, δέον ἐκρίνετο καὶ τῷ βασιλεῖ συνεβούλευον παραλλάξαι μὲν τὸν Πρόσακον, μετελθεῖν δὲ τὰ λοιπὰ πολίσματα καὶ τὰς κώμας ὅπόσαι κατήκοοι Χρύσῳ γεγόνασι, μετὰ δὲ τὴν τούτων χείρωσιν τῷ Προσάκῳ παρεμβαλεῖν· οὕτω γὰρ ἐσεῖσθαι καὶ τὸ στράτευμα εὐθαρσέστερον, τὰ εὐχείρωτα καταστρεψάμενον πρότερον καὶ λείαν ἐκεῖθεν περιβαλόμενον, καὶ αὐτὸν δὲ τὸν Χρύσον τῇ βίᾳ τῶν πραγμάτων ἀγχόμενον μεταβου- P. 326
λεύσασθαί τι χρηστότερον, ἐνδόντα τοῦ ἄγαν ἢ καὶ ἀπογνόντα τῶν καθ' αὑτόν. τοῦ δέ γε κατὰ τὴν πρώτην ὁρμὴν τοῖς ἀπροσμάχοις εὐθὺς προσβαλεῖν καὶ πρὸς ὄρη διαμιλλᾶσθαι ἀπότομα, μὴ καὶ εἶναι μάταιον ἔλεγον, καὶ ἄλλως ἱδρῶτας ὁρᾶν αἱματόεντας καὶ προσκείμενον πόνον πολύν, καὶ φαντάζεσθαι κόρσας ἀναύχενας τῶν μαχουμένων ἀνδρῶν. καὶ οἱ μὲν ταῦτα παρῄνουν, ἀντέστησαν δὲ γενναιότερον οἱ μὴ ἐνόρχαι τοῦ βασιλέως πρόκοιτοι, ὧν ἐπρωτίστευεν ὁ Οἰναιώτης Γεώργιος, καὶ τὰ ἐπὶ τῆς θεραπείας λειογένεια μειράκια. οὗτοι γὰρ περιστάντες τὸν βασιλέα παλαιοὶ καὶ πανδέξιοι ἔπεισαν ἐς τὸν Πρόσακον εὐθυώρως ἄγειν τὴν στρατιάν, καὶ κατ' αὐτοῦ τοῦ Χρύσου ἀντίον τὰ ὅπλα ἄγειν καὶ τὸ δό- B

14. τοῦ] τό? 21. τὰ ἐπὶ] τὰ τοῦ κελίου αὐτοῦ παιδόπουλα B.

eoque summe necessario et praestantissimo caret, quod ne una quidem aquae gutta ibi scaturit, nec fossiles putei sunt, sed ad flumen descendendum et hydriis aqua haurienda est. Chrysus igitur tali castello potitus, imperatoris contra se expeditione nihil territus, ad resistendum se paravit. Romani vero rei militaris periti, si qui forte supererant, et situs locorum non ignari, monebant imperatorem ut praeterito Prosaco reliqua oppida et pagos Chrysi invaderet, et iis expugnatis demum ad illud castellum accederet. sic et exercitum fore fidentiorem victoria et praeda ex minus firmis castellis parta, et ipsum Chrysum vi belli urgente aut consilium mutaturum remissa pertinacia, aut de rebus suis desperaturum. caeterum in arcem inexpugnabilem principio facere impetum et cum praeruptis petris dimicare cum vanum esse, tum cruentis sudoribus et multis aerumnis et caedibus plenum. his spadones, Georgius Oenaeotes in primis, et imberbes adolescentuli acriter adversati, imperatori persuaserunt ut recta ad Prosacum adduceret exercitum, quo capto nihil deinceps posse resistere, praesertim cum nihil impediret quo minus arcem

ρν διαγκωνίζεσθαι, ὡς „εἰ οὗτο ἁλώσεται, οὐκ ἔστιν ὅστις ἐς τὸ ἐξῆς ἀντιστήσεται. καὶ ἄλλως δὲ τί τὸ προσιστάμενον μὴ κατὰ τοῦ καιρίου μέρους αὐτίκα χωρεῖν, ἀλλ' ἐκ περιόδων καὶ κύκλων μετέρχεσθαι τὸ πολέμιον; πρὸς δὲ τούτοις τίς ἂν ἀνέξεται ὅλως ταῖς βαρβαρικαῖς ταύταις καὶ ἀχαριτώτοις χώραις διατρίβειν ἐπὶ πολὺ δι' οὐδὲν ἢ μικρὸν ὄφελος, τῆς τῶν συκίων καὶ τῶν πεπόνων ὥρας ἐφισταμένης καὶ τῶν ἄλλων περκαζόντων ὡραίων τῆς γῆς, οἷς ὑπερβέβριθε Προποντὶς ὅσα καὶ παράδεισος χειρὶ θεοῦ φυτευθείς. εἶθε ὑπὸ πλακὶ Ῥηγίου γενοίμεθα καὶ Ἀφάμειαν θεασαίμεθα, ὅπως προσείποιμεν τὴν ἱερὰν Κωνσταντινούπολιν, κἀκεῖθεν ἐς τὰ τοῦ πρὸ τοῦ Πόντου τρυφερὰ χωρία προσαναπλεύσαιμεν, ἔνθα πραεῖά τις αὔρα βόρειος καὶ ζωογόνος προσβάλλει διὰ παντός, καὶ ἰχθύες νεαλεῖς περισκαίρουσι, καὶ δελφῖνες ἥδιστον ἀναθρώσκουσι λουτρῶν τε χάριτες διαγελῶσιν ἁπανταχῇ, καὶ ἀργύρεα πλανώμενα ὕδατα τὸν θεατὴν διαχέουσι, καὶ τὰς ἀκοὰς τῶν δεῦρο κἀκεῖσε περιφοιτώντων ἐστιῶσι κατακηλοῦσαι κατίλλουσαι χελιδόνες καὶ μελεάζουσαι ἀηδόνες καὶ πᾶν ἕτερον ἄλλῃ καὶ ἄλλῃ τρύζον ἐν ταῖς λόχμαις καὶ τιτυβίζον μουσικὸν πτερόν." ὅλῳ τοίνυν ῥυτῆρι πρὸς τὸν Πρόσακον φέρεται βασιλεύς, εἴπερ ἐς ἴσον αὐτῷ κατέστη τῇ θέᾳ ὁ λόγος. ὅθεν τινὰ μὲν ἐρύματα πάρεργον ὁδοῦ κατεστράφησαν, θημωνίαι τε καρπῶν καὶ λήϊα πυροφόρα κατηθαλώθησαν, καὶ παρὰ Περσῶν ἐάλωσαν Βλάχοι δορύκτητοι, οὓς ὁ τῆς πόλεως

6. τῶν om APW. 9. πλάκα A. 21. ὡς εἴπερ? 23. πυροφόρα] ποηφόρα A.

belli invaderet, nec quidquam esset quod hostem per ambages quaerere cogeret. praeterea neminem esse qui in barbaricis et foedis illis locis diutius commorari sustineat, nullo aut exiguo cum fructu, ficuum et peponum tempore instante, et caeteris pomis maturescentibus, quibus Propontis ut paradisus dei manibus consitus abundet. „nti. am" inquiunt „in Rhegii planitie essemus, et Aphameam cerneremus, ut sacra Cpoli salutata in Propontidis amoenitates navigaremus, quam lenes et fecundae Aquilonis aurae iugiter perflant, ubi pisces recentes palpitant, ubi delphines iucundissime saltant, ubi lavacra passim arrident, ubi limpidorum rivulorum flexus spectatorem exhilarant, ubi auribus obambulantium garritus hirundinum et cantus lusciniarum caeterarumque avium blandiuntur." igitur imperator laxis habenis ad Prosacum fertur, quasi oculis ea usurpasset quae auribus acceperat. obiter tamen castella quaedam eversa sunt, et horrea et segetes incensae; et a Persis, quos Ancyranus satrapa imperatori auxilio miserat, Blachi aliquot capti. tum orthodoxae fi-

Ἀγκύρας σατράπης ἐπικούρους ἀπέσταλκε βασιλεῖ, ὅτε καὶ τὸ
μὲν περὶ τὴν ὀρθόδοξον πίστιν ὑγιὲς καὶ θερμότερον τὸν βα-
σιλέα ἐξελιπάρησε μὴ συγχωρῆσαι ὅλως τοῖς Τούρκοις οἵκα-
δε ἀνθρώπους μετενεγκεῖν θεὸν ὃν ἡμεῖς προσβεύομεν σεβο- V. 269
μένους, ἵνα μὴ τὴν πίστιν ἄκοντες μεταθέμενοι τὸ θεῖον κατὰ
τῶν ἐκδόντων ἐκμήνωσιν, ἀλλὰ τὸ μὲν Βλαχικὸν αἰχμάλωτον
ἐς οἰκετικὸν ἀποδοθῆναι Ῥωμαίοις, αὐτοὺς δὲ τοὺς χειρω-
σαμένους Πέρσας φιλοφρονηθῆναι δεξιώσεσιν ἑτέραις βασιλι-
καῖς· ὃ δὲ οὐδ' ὅλως ἐπένευσεν. ἐπεὶ δὲ καὶ ἐς αὐτὸν
ἐφθάκει τὸν Πρόσακον, βαλὼν ἐκεῖ που στρατήγιον ἔγνω τοῦ
φρουρίου αὐτίκα πειράσασθαι. καὶ ἦν ἔργα πρὸς Ῥωμαίων
τηνικαῦτα τελούμενα κατιδεῖν γέρατος καὶ θαύματος ἄξια· ὑπὲρ
γὰρ ἐλπίδας διηγωνίσαντο. οἱ μὲν γὰρ θυρεοῖς καὶ γυμνοῖς φρα-
ξάμενοι ξίφεσιν, οἱ δὲ τόξα καὶ βέλη φέροντες περὶ τὰ ἀνάν- P. 327
τη τοῦ φρουρίου ἀνερριχῶντο γεώλοφα, καὶ τοῖς ἀπὸ τειχῶν
καὶ τῆς ἄκρας μαχομένοις ἐπεγχρίπτοντες ἔβαλλον. ἀμέλει
καὶ μετὰ κάματον καὶ φόνον πολὺν ἐξέκρουσαν τοὺς βαρβά-
ρους τοῦ προτειχίσματος, ὅπερ προφύλαγμα τῶν ἐκεῖσε πυ-
λῶν ἐπῳκοδόμητο νεωστί. ἦσαν δ' οἳ καὶ διὰ τῶν κρημνω-
δῶν ἀνιμώμενοι ἀνόδων ἠκροβάτουν ὡς αἴγαγροι, πειρώμε-
νοι γενέσθαι εἴσω τειχῶν καὶ πρὸς αὐτὴν τὴν ἄκραν ἀναδρα-
μεῖν. ἀλλ' ὅτε τι διανύσαι ἔργον ᾠήθησαν σωτήριόν τε ἅμα
καὶ κάλλιστον, τοὺς ἐπὶ τῶν τειχῶν ἀμυνομένους τρεψάμε-
νοι καὶ εἴσω συγκλείσαντες, τότε εἰκαίως διαπονούμενοι ἔγνω-
σαν· αἰτήσαντες γὰρ σκαπάνας εἰς τὴν τῶν περιβόλων κα- B

dei cultores imperatorem obtestati sunt ne a Turcis homines qui eundem deum colant quem nos veneraremur, abduci ullo modo pateretur, ne religionem abiurare coacti deum contra eos a quibus dediti essent instigarent; sed Blachis in Romanorum servitia distributis Persae, qui eos cepissent, aliis largitionibus placarentur. verum ille plane renuit; et castris ad Prosacum positis statim oppugnationem tentare instituit. ac Romani opera edebant praemio et admiratione digna, spem omnem alacritate superantes. nam alii clipeis et strictis ensibus muniti, alii arcus et sagittas gestantes in arduos castelli tumulos arrepebant, et moenium defensores facti propiores impetebant. denique post fatigationem et caedem multam barbaros munitione recens portis obducta depulerunt. erant etiam qui per praecipites tramites funibus sese attollentes, et in rupibus instar capreafum haesitantes, moenia transcendere et in ipsam arcem evadere niterentur. sed cum propugnatoribus profligatis et in castellum compulsis se rem salutarem et pulcherrimam confecisse putarent, tum demum laboris sui vanitatem intellexerunt. nam cum ones ad moenia diruenda postu-

σθῆναι τὸν [illegible], ἢ γ[illegible]
C κρατοῦντα ὑπενεγκεῖν τὸ πρα
τῶν μάχῃ καὶ δίψει καὶ πνίγ
ἡλίου καύσωνα, ὁ δὲ μόνῃ ἐ
κατεχούσῃ, καὶ τῇ περιψοφήσει
τα ὑποκρινάμενος κατέβαλεν ο
ἀνδρῶν φρονήματα. ἐπὶ δὲ τ
νοι, ὅπως δι' αὐτῶν ἐς τὰ ἄν
τούτων αὐτίκα ηὐμοίρησαν.
μογεῖν ἀνεχόμενοι μετέβησαν
ἀναμφιλέκτου δ' ἄν, ὡς οἱ τε
νοντο ὕστερον, ἑάλω τὸ φρούριο
D Ῥωμαίοις εὔφημον τὸ ἔργον τόδε

19. ἐκ τοῦ] ἔλεγον δὲ καὶ διεβεβ
ὅτι εἰ ἐξ ἑτοίμου εἴχομεν τὰ
ἐπιτήδεια ὅπλα, καὶ ἐδίδοντο
ἐζητοῦμεν, καὶ τὰ κάστρον
αὐτός. B.

lassent, nemo fuit qui ea instrum
minus in opere perseverantes fa
manibus ac gladiis pro ligonibu
et pinnas assiliendo revellebant.
ipsi ex superiore loco male trac
praefectus spado ligones in unum
tem homo execrandus statim sub
ter obiurgandus, ut milites pugna

καμάτων ἀναίρεσις, εἰ τὰ πρὸς τὴν καθαίρεσιν τοῦ τείχους ὄργανα προῃτοίμαστο καὶ κατὰ καιρὸν αἰτουμένοις παρείχετο. νῦν δὲ ἡ τῶν καθηκόντων ἀμέλεια ἦ καὶ θεὸς αὐτὸς (ἀλλ' ἡμῖν ἱλήκοι θεός, εἰ ἐμπλήκτως τοῖς αὐτοῦ ἐπιβάλλομεν κρίμασι) μὴ ἐν τοῖς τότε ἀνθρώποις ἐπευδοκῶν προσέστη τοῖς ἀγωνίσμασι. καὶ κατ' ἐκείνην μὲν τὴν ἡμέραν οὕτω Ῥωμαῖοι διημιλλήθησάν τε καὶ διελύθησαν, τὴν δ' ἐπιοῦσαν αὖθις πρὸς δευτέραν ἔξῆεσαν συμπλοκήν, εὗρον δὲ μετὰ φρονήματος καὶ κόμπου τὸ ἀνθιστάμενον ἀμιλλώμενον διὰ τὰ συνεχθέντα χθιζά. ἀλλὰ καὶ τὰ πετροβόλα μηχανήματα οἷς ἐχρῶντο οἱ βάρβαροι ἀνῄρουν οὐχὶ βραχεῖς, ἐπιτυχῶς καὶ ἀφ' ὕψους τοὺς λίθους διακοντίζοντες· ἦν γὰρ καὶ ὁ ταῖς τῶν πετρῶν ἀφέσεσιν ἐφεστὼς καὶ τὸν λύγον περιάγων καὶ τὴν σφενδόνην διατιθεὶς ἐν μηχανουργοῖς ἄριστος, Ῥωμαίοις μὲν ἐπὶ μισθῷ τὰ πρῶτα ὑπηρετούμενος, τότε δὲ πρὸς Χρύσον ἀπονοστήσας ἐκ τοῦ μὴ ἔχειν τὸν μισθὸν χορηγούμενον. P. 328
οὐ μόνον δὲ οἱ ἐξ ἀφετηρίων ἀποσφενδονούμενοι σφαιρωτοὶ V. 270
λίθοι κακῶς ἐτίθουν τὸ στράτευμα, ἀλλὰ καὶ οἱ κατὰ πρανοῦς ἐπικυλιόμενοι ἄνωθεν. ἐν πολλοῖς δὲ καὶ τὰ μὴ ἐφικνούμενα σωμάτων ἐκ τῶν μηχανῶν χερμάδια εἰς θάνατον κατῆγον οἷς προσεπέλαζον· ταῖς γὰρ ἀνεστηκυίαις πέτραις προσαρασσόμενα, εἶτα τῇ τοῦ ἀφεικότος βέλους σφοδρότητι πρὸς πλεῖστα διαιρούμενα τμήματα, τῇδέ τε κἀκεῖσε διακρι-

10. τὰ πετροβόλα] τὰ χαλαστάρια B. 12. ἦν γὰρ] ἦν δὲ παρ' ἐκείνοις καὶ ὁ ἄριστος καὶ πρῶτος τῶν τεχνιτῶν βάλλων εἰς τὴν σφενδόνην καὶ ῥίπτων αὐτάς, ὃς τὰ μὲν πρῶτα ὑπὸ τοῖς Ῥωμαίοις ἦν, ὑπηρετῶν τῇ βασιλείᾳ μετὰ ῥόγας, τότε δὲ τῆς ῥόγας αὐτοῦ κρατηθείσης πρὸς τὸν χρύσον ἀπῆλθεν. B. 21. ταῖς γὰρ ἐρριζωμέναις πέτραις κρούοντες B.

tis postea laboribus caruissent, si instrumenta ad diruendum murum idonea statim in promptu fuissent. nunc vel officii neglectus vel deus ipse (is vero veniam concedat in sua iudicia temere inquirenti) iis hominibus offensus illis conatibus obstitit. ac eo die Romani sic a pugna discesserunt; qua postridie renovata, barbaros fortiter et insolenter ob hesternum casum pugnantes repererunt; nec pauci ex nostris tormentorum saxis icti, ex superiore loco solerter emissis, ceciderunt. nam qui eas machinas instruebat, solertissimus artifex, principio Romanis mercede inservierat, tum vero ob non solutum stipendium ad Chrysum defecerat. neque vero globis duntaxat machinarum, sed saxis etiam superne devolutis nostri affligebantur. ea quoque saxa quae primo impetu corpora non attingebant, cum eminentibus rupibus allisa in plurima frusta dissilirent, huc atque illuc

δὸν σκεδαννύμενα θανατηφόρον ἦσαν κακόν. καὶ νυκτὸς δὲ λάθρᾳ τοῦ ἐρύματος ἐξιόντες οἱ βάρβαροι τάς τε μηχανὰς διέλυσαν ἃς ἐπὶ τῶν ἐκεῖσε γηλόφων διέστησαν Ῥωμαῖοι, καὶ
B τὸ νυκτοφυλακοῦν διαθροήσαντες στράτευμα τῇ τοῦ πρωτοβεστιαρίου Ἰωάννου σκηνῇ φεῦγον ἐπικατέλαβον, ὡς καὶ τοῦτον θορυβηθέντα ἐξαναστῆναί τε αὐτίκα τοῦ λέχους, ὡς εἶχε καταδαρθάνων, καὶ δρασμῷ χρήσασθαι ὠρακιῶντα καὶ ὑπὸ δέους βαλλόμενον. ἀμέλει καὶ τὰ ἐν τῇ σκηνῇ διελόμενοι, ἐν οἷς ἦν καὶ τὰ βατράχεια τὸ χρῶμα πέδιλα τοῦ πρωτοβεστιαρίου, ὅλην ἐκείνην τὴν νύκτα ἐν μωκείᾳ καὶ γέλωτι τὰ Ῥωμαίων ἐτίθεσαν πράγματα. ἔτι δὲ καὶ οἴνων δοχεῖα τυμπανοειδῆ ἐκ λύγων διάκενα διαχαλῶντες ἄνωθεν ἐξίστων τῷ δούπῳ τὸ στράτευμα, μὴ εἰδὸς ὡς ἐν σκότει τὸ γινόμενον. ταύτῃ τοι καὶ βασιλεὺς τὰ κατὰ σκοπὸν οὐχ ὁρῶν περαινόμενα, ἄλλως τε μηδὲ χρονοτριβεῖν ἐκεῖσε προθέμενος,
C ἐς ξυμβάσεις τρέπεται. τοῦ τε οὖν Προσάκου καὶ τῆς Στρουμίτζης καὶ τῶν χωρῶν τῶν πέριξ Χρύσῳ ἐξίσταται, καὶ μίαν τῶν ἐκ τοῦ γένους συνευνάσαι οἱ συντίθεται, μὴ γυναικὸς σπανίζοντι. ἀμέλει καὶ εἰσιὼν τὸ Βυζάντιον τὴν τοῦ πρωτοστράτορος θυγατέρα τοῦ συνοικοῦντος ἀπέζευξε, καὶ τῷ Χρύσῳ ταύτην ἐκπέμψας, νυμφαγωγὸν ἀναδείξας τὸν σεβαστὸν Κωνσταντῖνον τὸν Ῥαδηνόν. τελεσθέντων δὲ τῶν νυμφευμάτων καὶ τῆς γαμηλίου δαιτὸς παρατεθείσης ὁ μὲν Χρύ-

2. μηχανὰς] τετραραίας B. 8. παλλόμενον? 9. τὰ βατράχεια] τὰ πράσινα ὑποδήματα B. 11. καὶ οἴνων] καὶ βουτζία εὔκαιρα ἔχοντα πέτρας ἐντός, ἅτινα καὶ κυλιόμενα ἐποιοῦσαν κτύπον μέγαν B. 21. νυμφαγωγὸν] σύντεκνον καὶ πληρωτὴν τοῦ γάμου B.

sparsa letiferum erant malum. et barbari noctu clam e castello egressi machinas quas Romani in tumulis disposuerant deiecerunt, et excubias territas ad protovestiarii Iohannis tentorium fugientes adepti sunt, ut is quoque somno excussus statim e lecto surgeret et trepidus fugeret. praedam in eius tabernaculo repertam partiti, in qua etiam virides calcei erant, insigne dignitatis illius, per totam eam noctem res Romanas deriserunt et subsannarunt. praeterea vacua dolia demittendo sonitu exercitum, quid rei esset in tenebris ignarum, perterrefaciebant. quamobrem cum imperator non succedere institutum suum cerneret, nec alioqui diutius immorari constituisset, per pactiones Chryso Strummiza et Prosaco finitimisque regionibus cedit; et quamvis uxorem habenti quandam ex cogitatione sua se ei desponsurum promittit. Byzantium reversus protostratoris filiam a marito seiunctam Chryso per Sebastum Constantinum Rhadaenum mit-

σος ἐζωροπότει καὶ ἤσθιε τονθευόμενος, ἡ δὲ γυνὴ τὸν τῶν νεονύμφων αἰδουμένη νόμον ἐγκρατῶς εἶχε τῶν παρακειμένων. ἐπιταχθεῖσα δὲ πρὸς τοῦ νυμφίου συμμετέχειν ἐκείνῳ βρώσεως, καὶ μὴ οὕτως αὐτίκα δράσασα, εἰς ὀργὴν ἐκμαίνει τὸν ἄνδρα. ἀμέλει καὶ πλεῖστα καθ' ἑαυτὸν ὑποβαρβαρίσας καὶ θυμομαχήσας ἐφ' ἱκανόν, μεθ' ὑπεροψίας ἔφησεν ὕστερον „μὴ φάγῃς μηδὲ πίῃς" Ἑλληνίδι φωνῇ. D

2. Τότε δὲ καὶ Σκυθῶν ἔφοδος ἐγεγένητο μεγίστη τε καὶ φρικαλεωτέρα τῶν πρότερον· εἰς γὰρ τέσσαρα διαιρεθέντες στρατεύματα πᾶσαν τὴν Μακεδονίαν ἐπῆλθον, ἀποπειρασάμενοι καὶ πόλεων εὐτειχίστων καὶ κορυφὰς ἐπανιόντες ὀρῶν, ὥστε καὶ τὸ Γάνος τὸ ὄρος διερευνησάμενοι πολλὰ φροντιστήρια ἐσκύλευσαν καὶ μονάζοντας ἀπέκτειναν, μηδενὸς εἰς χεῖρας τολμῶντος ἰέναι διὰ δέος, ὅτι καὶ μετ' ἐλαττόνων ἔμελλον πρὸς πλείους συμπλέκεσθαι καὶ διὰ τοῦτο τῆς ἑαυτῶν ἐρᾶν οὐκ εἶχον ψυχῆς.

Ὁ δὲ βασιλεὺς τὰς θυγατέρας ὁρῶν ὀργάδας ἐπὶ λέχος δεύτερον διὰ νεότητα καὶ ὥραν σώματος ἐφιλοκρίνει τοὺς συζευξομένους αὖθις αὐταῖς, ὥστε καὶ δυνάστας ἐθνῶν ἐξελέγετο τὰ τῶν Χριστιανῶν πρεσβεύοντας, οὓς ὡς πολεμίους P. 329 ἦν δεδιώς. ὑψὲ δὲ τῶν τοιούτων σκεμμάτων μεθαρμοσθεὶς Ῥωμαίοις αὐτὰς ἐκδέδωκε, τὴν μὲν Εἰρήνην συνάψας τῷ Παλαιολόγῳ Ἀλεξίῳ, διαζευχθέντι πρότερον ἧτις ἐννόμως αὐτῷ

10. πᾶσαν τὴν θράκην ἐκούρσευον B. 19. ὥστε καὶ] καὶ ἐξελέγετο καὶ ἀπὸ τῶν πλησιαζόντων αὐτῷ ἐχθρῶν χριστιανῶν ὄντων, καὶ ὡς πολεμίους φοβούμενος B.

tit. sponsalibus peractis et nuptiali convivio apposito Chrysus strenue potabat et comedebat. uxor vero eius observata sponsarum consuetudine nihil attingebat; et cum ab eo vesci iussa non statim paruisset, ira inflammatus, et multis barbaris verbis per indignationem obmurmuratis, tandem per contemptum Graece dixit „neque edito neque bibito."

2. Sub id tempus Scythae in quatuor exercitus divisi, maiori cum terrore quam unquam prius per totam Macedoniam sunt grassati. munitis etiam urbibus, et montium cacuminibús tentatis, ac monte Gano pervestigato, multa monasteria diripuerunt, multos monachos occiderunt, nemine cum eis ob multitudinem eorum ex periculi metu congredi auso.

Imperator vero cum filias suas ob adolescentiam et formam secundas nuptias desiderare videret, delectu ex omnibus gentibus Christianis habito, eos principes praeferebat caeteris, quos metuebat. tandem eo consilio omisso, Romanis eas despondit, Irenen

ἐγινώσκετο, ὥρας εὖ ἔχουσα, τὴν δ' Ἄνναν συνηρμόκει Θεοδώρῳ τῷ Λάσκαρι, νεανίᾳ τολμητίᾳ καὶ ῥαγδαίῳ πρὸς ἔργα πολέμια. ἦν δ' ὁ καιρὸς καθ' ὃν αὐται γεγόνασιν αἱ σύναφειαι ἐγγίζοντος ἀπόκρεω, καὶ τοῦ κηδεστοῦ βασιλέως οὔκουν ἐνσχολάσαι προθεμένου σταδιοδρόμων ἵππων ἁμίλλαις οἱ νεόγαμοι ἐνέκειντο θέατρα ἐξαιτούμενοι. διαιτῶν τοίνυν καὶ βασιλεὺς ἑαυτῷ τε καὶ τοῖς γαμβροῖς εἰς μὲν τὸ μέγα παΒλάτιον οὐδαμῶς ἀφικνεῖται, οὔτε μὴν ἐσάνεισι τὸ στάδιον, V. 231 τὰς δ' ἱππικὰς ἄντυγας εἰς τὸ ἐν Βλαχέρναις ἀρχεῖον προστάξας ἐνεχθῆναι σχεδιάζει θέατρον. καὶ δὴ αἱ μὲν φῦσαι τῶν πολυαύλων ὀργάνων κατὰ τὴν ἐκεῖσε αὔλειον εἰς καμπτῆρας διατίθενται, εἷς δ' ἔπαρχον τῆς βασιλίδος διασχηματίζεται πόλεως ἐκτομίας τις· τὸ δὲ ὄνομα ἑκὼν παρωδράμοιμι, πλούτῳ δ' ἦν οὗτος περιβριθὴς καὶ μεγίστας χειρίζων ἀρχὰς καὶ τοῖς περὶ τὴν βασίλειον γραφὴν ἐγγραφόμενος. πλεγμάτιον τοίνυν ἐκ λύγων συγκείμενον, ὃ φησιν ἡ δημώδης φράσις ὄνον ξύλινον, χρυσοπάστῳ σάγῳ ζωστῷ ἐς τὸ διαμπερὲς σκεπόμενον διαζωσάμενος τὸ σχέδιον ἐκεῖνο θέατρον εἴσεισιν, ὅτε καὶ ἦν τὸν αὐτὸν ὁρᾶν καὶ ὡς ἀναβάCτην μεγαλοπρεπευόμενον καὶ ἵππον εὐήνια προποδίζοντά τε καὶ χρεμετίζοντα· μετὰ βραχὺ δὲ κατὰ τοὺς πάλαι τῶν

4. οὔκουν] μὴ θέλοντος ξυλοκονταρέας καὶ ἐγκράσματα ἀλόγων ποιῆσαι B. 14. μεγίστας] μεγάλας δουλείας τῆς βασιλείας ποιῶν B. 16. πλεγμάτιον] ξυλάλογον ποιήσας καὶ χρυσοῦν βλατὶν σκεπάσας αὐτὸ καὶ σαγίσας ὡς δῆθεν καβαλλικεύων αὐτὸ εἰσῆλθε μέσον τοῦ θεάτρου, καὶ ποτὲ μὲν ὡς ἄλογον ἐφαίνετο καμαρώνων καὶ τὸν σφόνδυλον ὑψῶν καὶ τζατζαρίζων καὶ χρεμετίζων, ποτὲ δὲ ὡς καβαλλάριος ἐπὶ ἀλόγου δῆθεν ἐγκαθήμενος καὶ ἐπαιρόμενος. μετ' ὀλίγον δὲ πεζεύσας ἀπὸ τοῦ ἀλόγου ὑποκρίνεται μετὰ ἄλλων ἑτέρας ἀνθρώπων μορφάς. B.

χειρὸς δυνάμενον. καὶ τί γὰρ οὐκ ἂν διαπεπράχει τῶν πολεμίων εἰς ἀποσόβησιν ἀνὴρ ἥκων διὰ πάσης σοφίας καὶ παντοίαν μάθησιν λογικὴν ὡς οὐδεμίαν ἕτερος ἐπιών, ὅσαι τε θυραῖαι καὶ ὅσαι ἡμέτεραι; εἰ δ' ἠβούλετο, εἶχεν ἂν καὶ πῦρ ὕσειν ἐπ' ἀτασθάλους ἢ σφῆκας ἐπαφεῖναι τῷ στρατοπέδῳ, εἴτε τι ἕτερον ἐκείνοις ὀλέθριον αἰτήσασθαι θεόθεν καὶ λήψεσθαι· οὐδὲ γὰρ ἂν τὸ θεῖον ἐβράδυνεν, εἰ χεῖρες ὑψώθησαν ἐκεῖναι ἢ χείλη διηρθησαν ἐκεῖνα πρὸς θεοῦ ἐπίκλησιν. ἀπῆγε δ' αὐτὸν τοῦ τοιούτου τι ὅλως διανοῆσαί τε καὶ διαπράξασθαι ὁ τοὺς υἱοὺς τῆς βροντῆς ἐπισχὼν τοῦ πῦρ ὑψόθεν P. 392 κατενεγκεῖν ἐν τῷ εἰπεῖν „οὐκ οἴδατε ποίου ἐστὲ πνεύματος." (9) πρὸς οὖν τοιοῦτον ἀντίμαχον, οὕτω μὲν ἴδριν τῶν τακτικῶν, οὕτω δὲ τὸν λόγον πολύν, οὕτω δὲ τὴν ἀρετὴν ἀπαράμιλλον, ὁ ἀντίπαλος Σγουρὸς ἀπειπών, καὶ γνοὺς ὡς εἰκῇ ταῖς τῆς ἀκροπόλεως ῥαχίαις διακυρίττεται, τὸν θυμὸν ἐκριπίζει κατὰ τῆς πόλεως ἧς οὐκ ἔσχε χειρώσασθαι τὴν ἀκρόπολιν, καὶ δὴ τοῖς οἰκοπέδοις ἐνίησι πῦρ, καὶ προνομεύει τῶν ζώων τὰ εἰς ζεύγλην καὶ δίαιταν ἐπιτήδεια. καὶ μεθ' ἡμέρας ἐκεῖθεν ἀπαναστὰς ταῖς Θήβαις προσβάλλει ταῖς ἑπτὰ πύλοις. καὶ ταύτας ὡς ἐξ ἐφόδου παραστησάμενος ἐπιτείνει πρὸς τὰ πρόσω τὸ πρόθυμον. οὐκοῦν Θερμοπύλας διιὼν καὶ τὴν Οἴτην ὑπερκαταβὰς εἰς Λάρισσαν ἔξεισι καὶ τῷ βασιλεῖ B Ἀλεξίῳ συγγίνεται (οὗτος γὰρ τῶν τοῦ βορρᾶ πλευρῶν κατασυρεὶς καὶ τῆς ἐν πόλεσιν ἀρχούσης ἐκσφαιρισθεὶς τοῖς

22. ὑποκαταβὰς A.

sacrarum et profanarum litterarum perpolitus summaque facundia ornatus? qui si voluisset, igni pluere super temerarios aut crabrones in exercitum immittere potuisset, aut aliquid aliud eis perniciosum divinitus impetrare. neque enim cunctatus esset deus, si manus ille sustulisset aut labia ad invocationem numinis aperuisset. sed a tali vel cogitatione, nedum facto, eum abduxit is qui filios tonitrui compescuit, ne ignem caelo elicerent, cum diceret „an nescitis cuius spiritus sitis?" (9) Scurus autem desperata victoria adversarii acie instruendae tam periti, tam diserti, tam incomparabili virtute praediti, et irrita oppugnatione rupium arcis intellecta, iram suam contra eam urbem extimulat cuius arcem expugnare non poterat, villas incendit, greges armentaque rapit. et post dies aliquot soluta obsidione Thebas oppugnat; quibus primo impetu captis, ulterius contendit, ac Thermopylis superatis per Oetam montem descendendo Larissae cum Alexio imperatore se coniungit. is enim a Septentrionalibus lateribus avulsus et urbe imperatrice excussus in Thessalica

Ἀλέξιος, οὐκ οἶδ' ὅ τι [illegible]
ληφε καὶ κακῶς ἐς τὰς κόρα
σῶν κομιδῇ καὶ φυγὰς βασιλ
τικαθήμενος. μετ' οὐ πολὺν δέ
χεῖρας ἐμπεσὼν τῶν Λατίνα
ἀνακομίζεται, καὶ ὑπὸ δίκη
καὶ βασιλέα συνειληφὼς καὶ
ἀπελογήσατο μὲν ἐκεῖνον προ
ἀξίως τὰ εἰκότα παθεῖν, μὴ μ
ἀλλὰ καὶ τοῖς ἄλλοις, ὅσοι
συνήπτοντο. οἱ δὲ μὴ προσσχό
D ἔτι ὤδινεν εἰπεῖν τὰς ἀκοὰς ὁ
φίζονται θάνατον τοῦ ἀνδρὸς
εἰς γὰρ τὸν ἐν τῷ Ταύρῳ
ἀνενεγκόντες βάλλουσιν ἐκεῖθε

17. ἀπελογίσατο A. 24.

Tempe pervenerat. ac filiam ill
prius Stephano Triballorum duc
zantium reversa, post captam
gnomento Murzuflo, qui Romani
pserat. sed ne is quidem illam
Eudociae pater Alexius, haud s
prehensum luminibus orbavit,
deiectus simili calamitate confli
execaecationem a Latinis compa

τινὸς κατιών, εἶτα ἀνατραπεὶς κατωκάρα καὶ μετὰ βραχὺ καταρραγεὶς δόχμιος διέρρηξεν οἰκτρότατα τὴν ψυχήν. τῇ γοῦν Εὐδοκίᾳ συναφθεὶς ὁ Σγουρὸς τοῦ μαρκεσίρυ τῇ Ἑλλάδι προσάγοντος αὐτός, ὡς μικρῷ πρόσθεν εἰρήκειν, τὸ ἐν Θερμοπύλαις ἐτήρει τέναγος καὶ τὸ ἐπικρεμάμενον ταύταις σκιόεν ὄρος καὶ ὑψικόρυμβον καὶ τἄλλ' ὁπόσα τὴν Ἑλλάδα δυσπρόσοδον τίθησιν. ἀλλὰ καὶ οὕτω κατὰ πᾶσαν εὐμάρειαν οἱ ἐκεῖσε τῷ μαρκεσίῳ ὑπέκυπτον ἀγεννεῖ καὶ καταβεβλημένῳ φρονήματι καὶ προσχωρεῖν ἀεί πως ἐγνωκοτι τοῖς κρείττοσι, P. 393
καὶ ταῦτα μὴ στρατιὰν ἄγοντι μυριάριθμον μηδὲ συμβαίνουσαν ταῖς γνώμαις, ἀλλ' ἀσύμφωνον ἐν πλείστοις ὡς ἐκ πόλεων ἠλισμένην πολλῶν. ἐλάσας δὲ καπὶ τὴν Βοιωτίαν αὐτήν, ὡς οὐδέ τις ἐπανήκων οἴκαδε χρόνιος, ὑπὸ τῶν Καδμείων ἀσμένως προσδέχεται. προϊὼν δὲ κρατεῖ καὶ τῆς Ἀττικῆς, καὶ τῇ ἀκροπόλει φρουρὰν ἐγκαθίστησιν. εἶχε δὲ ὁ προεδρεύων ἱερατικῶς τῆς πόλεως, ὥσπερ Σγουρὸν πρότερον, οὕτω καὶ τότε μαρκέσιον ἀποπέμψασθαι· μὴ εἶναι δὲ δοκιμάζων καιρὸν ἀντιστάσεως, οἷα τῆς τῶν ὅλων βασιλίδος ἁλούσης, τῆς δ' ἐσπερίου καὶ ἑῴας ὑπὸ Ῥωμαίους λήξεως τὴν σκιὰν ὑπιούσης τοῦ Λατινικοῦ δόρατος, ἀναιμωτὶ τοῦ ἐρύ- B
ματος ὑπεξίσταται. ἐπὶ πᾶσι δ' οὐδ' Εὔβοια γενναῖον βλέπει τι καὶ ἐλεύθερον, ἀλλὰ καὶ αὕτη χεῖρα προτείνει, καὶ

5. ἐπικρ. ἐν τούτοις ὄρος τὸ δασὺ καὶ ὑψηλόν B. 11. ὡς ἐκ] καθότι ἦσαν ἀπὸ διαφόρων πόλεων περισυνάγματα B. 20. ἐπιούσης A.

tant. is vero aliquandiu in pedes descendens, deinde in caput subversus et humi allisus miserabiliter interiit. Scurus autem ducta Eudocia, marchione in Graeciam transituro, ut paulo ante dixi, Thermopylarum angustias et altum montem eis imminentem, caeteraque loca quae Graeciae aditum intercludunt, accurate custodiebat. verum nihilominus ille iis locis facillime potitus est ob nostrorum ignaviam ac degeneres abiectosque animos, subinde potentiores colere volentium; idque cum non magnum adduceret exercitum nec inter se consentientem, sed plerisque in rebus, quippe ex multis urbibus collectum, dissidentem. et cum ipsam Boeotiam invaderet, tam cupide susceptus est quam quisquam qui ex longinqua et diuturna peregrinatione domum revertitur. progressus etiam Attica potitur, et arci praesidium imponit. cum autem idem archiepiscopus, ut pridem Scurum, ita et tunc marchionem propulsare posset, tamen tempus a resistendo alienum esse ratus, quippe urbe imperatrice expugnata et tam Orientalibus quam Occidentalibus provinciis Latinae hastae umbram subeuntibus, citra dimicationem munitione cedit. postremo

καὶ χειρούμενοι [illegible]
τὸ δέ, ὡς μὴ πεζαίτερον ὂν ἀ
πτὰν τὴν ἱστορίαν χωρεῖ πρὸ
Ἰσθμοῦ προσεδρεῦον Ῥωμαϊκό
Ἰσθμῷ κειμένην καὶ πάλαι ἀφ
ται πρὸς Ἄργος, περιπαπταί
ἔνθεν προσβάλλει, ἐκ τοῦδε
ὁρμᾷ πρὸς Πύλον τὴν πατρίδα
V. 323 ἐπιστὰν ἀρύσεται τοῦ ῥείθρου κ
ται παλαιοῦ χαρίεντος διηγήμ
τῷ τῆς Ἀρεθούσης ὑγραινόμενο
D παῖδας Ἰταλῶν ποτιζούσης, δ
τὸ ὕδωρ γράψει καθ' ὑγρῶν κα
νους ἐκεῖσε διασαφήσειε τὰ κ

4. *δναστιβάζουσαν* vel *δναστο*

Euboea quoque, omissa defensione
tendit, et exercitui Euripo concita
freto castellum aedificatum, in e
quo mutabiles insularium animi e
cerentur. sed quid meam oration
cursum occupant, nec ab ullo ad
Thebis spoliatis et Athenis occup
refert; illi vero, non ut pedite
historiam evecti, ad Isthmum ten
ercitum profligant, urbem in Is
thum intrant. unde Argos transeu

ἀλλ' ὦ Ἕλλην ποταμὲ Ἀλφειέ, ῥεῦμα ῥέον δι' ἅλμης πότιμον, ξενίζον ἄκουσμα, ἐμπύρευμα ἔρωτος, μὴ δὴ τὰ Ἑλλήνια δυσπραγήματα τοῖς ἐν Σικελίᾳ βαρβάροις διατρανώσειας, μηδ' ἔκπυστα θείης ὅσα οἱ ἐκ σφῶν ἐπιστρατεύσαντες Ἕλλησι καθ' Ἑλλήνων ἐμεγαλούργησαν, ἵνα μὴ χοροὶ στῶσι καὶ παιᾶνες ᾄσθῶσι καὶ πλείους κατάρωσιν οἱ διάφοροι. βραχύ τι ἐπίμεινον· ἀλλοπρόσαλλος ἡ μάχη, πεττευτὰ τὰ ἀνθρώπινα, καὶ νίκη ἐπαμείβεται ἄνδρας. οὐδ' Ἀλεξάνδρῳ φασὶ τὰ ἐπὶ πᾶσιν ἀπρόσκοπα, οὐδ' ἀδιάπτωτος ἡ τύχη παράπαν τοῦ Καίσαρος. ναὶ πρὸς αὐτῆς τῆς Ἀρε- P. 394
θούσης τῶν ἀνεπάφων ἅλμης φιλοτήτων καὶ τοῦ ἐρωτόεντος νάματος. ἀλλ' εἶεν. ὁ δὲ δὴ Σκουρὸς ἐπὶ τούτοις ἠπορηκώς, καὶ τὸ Ἄργος ὁρῶν ἐχόμενον καὶ τὰς περιοικίδας πόλεις συνειλημμένας, ὡς ἐς ἄντρον λάσιος θὴρ ἢ ὡς ὄφις ἑρπυστὴς εἰς χειὰν συσπειρᾶται τὸν Ἀκροκόρινθον· ὅ δέ ἐστιν ἡ τῆς πάλαι πόλεως Κορίνθου ἀκρόπολις, ἐπ' ἀνάντους ὄρους κειμένη καὶ δυσάλωτος τοῖς προσβάλλουσιν. ἀποκρουσθεὶς τοίνυν τοῦ Ἀκροκορίνθου μαρκέσιος, ἀλλὰ μηδὲ τὴν εἰς τὸ Ναύπλιον πάροδον ῥᾳδίαν θεώμενος διὰ τὴν τῶν ἐρυμάτων ἐχυρότητα καὶ τὴν τῶν ἀπομαχομένων ἰσχυρότητα, χρονοτριβεῖν ἐφ' ἑκατέροις προτίθησιν, ἐς δὲ τὸν Ἀκροκόρινθον καὶ φρούριον ἀντίθετον ἀνίστησιν, ᾗ μάλιστα ὁ χῶρος ἐπίμαχος κατεφαίνετο. B

2. ἐμπύρευμα] φλὸξ ἀγάπης καὶ ἄναψις B. 8. καὶ νίκη] οὐδὲ ἡ νίκη ἀεί ποτε αὔξει B. 15. εἰς χειὰν] εἰσέρχεται εἰς τὴν αὐτοῦ φωλεάν B.

auditu mira, amoris incendium, cave Graecorum calamitates Siculis barbaris explices, aut commemores quantas res populares eorum contra Graecos gesserint, ne choreae ducantur, ne paeanes cantentur, ne plures hostes appellant. paulisper expecta. multae sunt belli vices; tesserae instar volvuntur res mortalium. nunc his nunc illis favet victoria; ne Alexandro quidem ferunt omnia successisse ex sententia, nec Caesaris fortuna caruit offensionibus. per ipsam Arethusam te obtestor, per amicitiam a salsedine intactam, per amatorium laticem. sed ut ad institutum redeam, Scurus his cladibus fractus, cum Argos et finitima oppida occupata esse cerneret, in Acrocorintho ut hirsuta bestia in antro aut ut draco in spelunca se abdit; quae veteris Corinthi arx est, in arduo monte sita, fere inexpugnabilis. quare marchio inde repulsus, cum Nauplium quoque haud facile expugnari posse cerneret ob castellorum munitionem, et defensorum constantiam, obsidionem utriusque loci ducere instituit; et ex adverso Acrocorinthi castellum aedificat, qua maxime oppugnari posse videbatur.

καὶ εἰς χώρον τῇ τύχῃ φερωνύμον
C σκεται) τὰς διατριβὰς τελέσων ἐκπ
ὁμευνέτιδι. (10) οἱ τῷ βασιλεῖ τ
μαῖοι (ἦσαν δὲ τούτων οἱ πλείους
ἄδοξοι τὰ πρὸς πόλεμον, καὶ πατρ
αὐχοῦντες) ἤθελον συνεῖναι καὶ ο
δυνατὰ ὑπουργεῖν· ὁ δὲ μὴ χρεί
στρατιωτῶν οὕτως αὐτοὺς ἀπεπέμ
Βαλδουίνῳ περὶ τοῦ προσδεχθῆνα
δ' ἦσαν, ὅ φασι, καὶ πάλιν κενὴν
ᾔεσαν, ὃς τραφεὶς ἐν τῷ Αἵμῳ κ
D τὴν ὑπὸ Ῥωμαίους ἑσπέριον ἐπικρ
νισε πολέμοις ἀπολικμῶν, Σκυθικ
πολυτρόποις ἐκτρίβων κακώσεσιν.

4. κατὰ] ἀπὸ (ἐπὶ?) τῆς νικαίας
8. ἄρτον APW.

Ita Romanorum Asiani et Occiden
tegro anno elapso, Latinarum gent
(iam enim designatus imperator Baldu
oppugnare instituerat), nisi dominus,
tes belli studiosas dissipat, nostri de
tium suscepisset. nam profugus imper
panis et vini demenso imperii insign
coniuge in locum nomine Halmyrum
suae respondentem habitatum missus.
peratore aufugerant, quorum plerique n
ciis urbibus orti erant. cum marchio

δέχεται· ἦν γὰρ τὸ τῶν Λατίνων ἀγέρωχον φρόνημα ὑφορώμενος καὶ τὴν τούτων λόγχην ὡς φλογίνην ῥομφαίαν ὑποβλεπόμενος, ἐπεὶ καὶ περὶ φιλίας στείλας πρέσβεις οὐχ ὡς βασιλεὺς φίλοις ἀλλ' ὡς ὑπηρέτης δεσπόταις προσδιαλέγεσθαι σφίσιν ἐν τοῖς πρὸς αὐτοὺς ἐπετάττετο γράμμασιν, ἢ V. 324
μὴν ἀπεκδέχεσθαι σφᾶς κατ' αὐτοῦ τὰ ὅπλα βαστάζοντας καὶ κείροντας κατ' εὐπέτειαν τὴν Μυσίαν, ἣν μὴ δέον καρποῦνται τοῖς κυρίοις Ῥωμαίοις ἐπαναστάς, κἀκεῖνον εἰς τὴν προτέραν τύχην ἐπαναλύοντας. διαφήσι τοίνυν ἐς τὰς πατρίδας ἐπανιέναι τοὺς ἐπήλυδας αὐτῷ Ῥωμαίους ὁ Ἰωάννης, καὶ δρᾶν ὃ δύνανται κακὸν τοὺς Λατίνους μετ' εὐμεθόδων P. 395
τῶν ἐγχειρήσεων, ἕως τὰ κατ' αὐτοὺς ἐπὶ τὸ κρεῖττον ἐκεῖνος διάθοιτο. ἐπανηκότες οὖν ἐς τὰ σφέτερα τὰς τῶν Θρᾳκῶν καὶ Μακεδόνων πόλεις διαφιστῶσι, συναιρομένων σφίσι τῶν Βλάχων. πλεῖστοι γοῦν ἐντεῦθεν τῶν τὰς πόλεις διανειμαμένων Λατίνων ἐς αὐτὸ ζημιοῦνται τὸ ζῆν, οἱ δὲ φυγάδες ἐς Βυζάντιον ἐπανήκουσιν. ἀλλὰ καὶ οἱ ἐν Διδυμοτοίχῳ διαχειρίζονται, καὶ οἱ ἐν Ὀρεστιάδι μετανάσται γίνονται. καὶ τοῦτο τὸ ἔργον ἐλευθεροῖ μὲν τὴν ἕω Λατίνων παρὰ πᾶσαν δόκησιν, ἐπανηκόντων εἰς τὸν καθ' ἑσπέραν πόλεμον, ἐκκρούει

1. ἦν γὰρ] ἐννοιάζετο γὰρ πάντοτε διὰ τοὺς φράγγους, καὶ ἐφοβεῖτο τὰ αὐτῶν κοντάρια ὡς φλογερὸν πῦρ. ὅθεν καὶ πρὸς αὐτοὺς ἀποκρισιαρίους ἔπεμψε περὶ εἰρήνης καὶ φιλίας. οἱ δὲ ἀντέγραψαν αὐτῷ οὐχ ὥσπερ βασιλέα φίλον αὐτοῦ γράφων, ἀλλ' ὡς αὐθέντης δοῦλον αὐτοῦ, καὶ ὥριζεν αὐτὸν εἶψαι τὰ ἅρματα καὶ τῇ βασιλεία ὑποπεσεῖν, εἰ δὲ μή, κατ' αὐτοῦ μέλλωσιν ἐκστραιεῦσαι καὶ ἀποκαταστῆσαι αὐτὸν δοῦλον τῆς βασιλείας, καθὼς ἦν καὶ πρότερον. B.

Latinorum ferociam suspectam habebat eorumque hastam ut flammeam romphaeam reformidabat, libenter eos suscepit. qua de causa cum legatos de amicitia ineunda ad Latinos misisset, per litteras cum eis non ut rex cum amicis sed ut servus cum dominis colloqui iubebatur: alioqui se arma illi illaturos et Mysiam facile vastaturos, quam contra officium et per seditionem spretis Romanis occupasset, eumque ad pristinam fortunam redacturos. proinde Romanos ad se profugos Iohannes in patriam quemque suam abire iubet, et callidis aggressionibus Latinis nocere quantum possint, donec ipse fortunis illorum consulat. igitur ad sua reversi Macedonum et Thracum urbes, Blachis adiutantibus, ad defectionem impellunt. unde plurimi Latinorum, quibus eae urbes obvenerant, iugulantur, alii Byzantium extorres redeunt. occiduntur et ii qui Didymotichi erant; et qui Orestiadem tenebant, eiiciuntur. id facinus Orientem Latinorum bello praeter expectationem liberat, ad Occidentem redeun-

τισαμενος επανιστασιν ὁ τε ρω
ἄλλων ἀρχηγῶν τριττὺς (ὁ γὰρ
ἀπεγεγόνει θανάτῳ, καὶ τέθαπτ
C γάνων ἐν τῷ τῆς σεβαστῆς τῆς
τοῦ αὐτίκα στέλλεται στρατιὰ
ἀποστάσας. Βιζύη μὲν οὖν
καὶ ὡς πρώην ὑπέκυπτον· τὴν
νωθεῖσαν εὗρον τοῦ ἐν πλούτῳ
θεμένων σφίσι Ῥωμαίων, οἷς
συνελήλυθασι τούτοις ἐπίκουρ
ὅπλοις γενόμενοι, καὶ πρὸς
ὑποφαυσάσης δὲ τῆς ἕω Ῥωμα

η. τὸ ἐκ Σκ.] τὴν τῶν κομάν
μετὰ κλεψίας ἐδοκίμαζε τοὺς
τὴν δὲ πολισθ.] τὴν δέ γε ἀρ
τε τοῦ τοπικοῦ λαοῦ καὶ τοῦ
νον δὲ ἐν ταύτῃ ηὑρίσκοντο
οἵτινες πατρίδα ταύτην εἶχον
χίαν πρὸς βοήθειαν αὐτῶν,
διεμερισθησαν εἰς τὰ τοῦ
18. οἳ] οἷς APW.

tium; et eos etiam qui Graeciam
pressa superbia paulo modestiores
runt ordine referamus, Romani q
tenebant, non parvis Blachorum fr
vero, qui suas copias et auxilia
ducebat, operam dabat ut Latino

ρατάξει μήτε μὴν μεθόδοις χρωμένους στρατηγικαῖς, ἀλλ' οὐδ' ἐς ἀκρίβειαν ὡπλισμένους, συντεταγμένην τὴν δύναμιν ὡς ἐς μάχην ἐξάγειν ἐγνώκεσαν. ὡς δ' ἀπήντων αὐτοῖς Ῥω- D
μαῖοι μετὰ θάρσους τοῖς τείχεσιν ἐπεγχρίπτοντες (ᾠοντο γὰρ δειλίαν τὴν τῶν Λατίνων ἀσφάλειαν), διεκχέονται τῶν πυλῶν καί σφισι συμπλέκονται, καὶ πρὸς μικρὸν ἀντισχόντες Ῥωμαῖοι τρέπονται, καὶ γίνεται τῆς ἡμέρας ἐκείνης ἐλεεινὸν καὶ οἰκτιστον θέαμα· μηδενὸς γὰρ λαβόντες οἱ Λατῖνοι φειδώ, κατὰ δὲ πάντων τῷ ξίφει χρησάμενοι, τὴν γῆν ἐπίαναν αἵ-
μασι, καὶ τῶν πεσόντων οὐδεὶς ὁσίας τετύχηκε. ταυτὶ μὲν οὖν ἡ προεξιοῦσα δέδρακε στρατιά· οὐδὲ γὰρ περαιτέρω χωρεῖν τεθάρρηκε, Ῥωμαίων μὲν καὶ Βλάχων μετὰ μοίρας Σκυθικῆς περιόντων, τῶν δ' ἄλλων ἐς τὴν Ἀδριανοῦ συνδραμόντων ὡς εἰς σῶζον κρησφύγετον. κατὰ δέ γε μῆνα
τὸν Μάρτιον ἔξεισιν ὁ βασιλεὺς Βαλδουῖνος καὶ ὁ Πλέης κόμης Δολόϊκος, ἐπὶ δ' αὐτοῖς ὁ δοὺξ Βενετίας Ἐρίκος Λάνδουλος, μετὰ τῶν οἰκείων ἕκαστος τάξεων. ἀμέλει καὶ κατειληφότες τὴν Ἀδριανοῦ, καὶ βαλόντες ἐκεῖσέ πῃ στρατήγιον P. 396
ἐς ὅσον μὴ εἶναι βέλους ἐντός, τῇ ὑστεραίᾳ τὰς δυνάμεις προσῆγον τῷ τείχει καὶ ἵστων τὰς μηχανάς. τῶν δ' ἐντὸς ἀμυνομένων εὐρώστως, οὐδέν τι πλέον ἐφ' ἡμέραις ἐπέραι-

1. μεθόδῳ χρωμένους βασιλικῇ A. 3. ὡς δ'] οἱ ῥωμαῖοι δὲ μετὰ θάρσους ὑπήντουν αὐτούς. ἐμακρύνοντο δὲ ἀπὸ τοῦ τείχους οἱ φράγγοι. ὑπολαβόντες δὲ οἱ ῥωμαῖοι ὅτι διὰ δειλίαν καὶ φόβον ὑπομακρύνουσιν, ἐξέρχονται ἀπὸ τῶν πορτῶν καὶ τούτοις συμπλέκονται B. 8. οἱ Λατῖνοι om A. 13. τῶν δ' ἄλλων] κατάντημα καὶ ἀκούμβισμα τὴν ἀδριανούπολιν ἔχοντες B. 16. ὁ δολεῖκος B. 18. καὶ βαλόντες] καὶ χάρακα στρατήγιον βάλλοντες ὅσον μὴ σώζειν σαγίταν B.

xisset, Latini Romanos nec aciem militarem habere nec ulla bellica disciplina uti, atque adeo nec satis armatos esse conspicati, ad pugnam se pararunt, longius digressi a moenibus. eam Latinorum cautionem Romani timiditati tribuentes, portis effusi et temere invecti, paulo post in fugam vertuntur. ac eo die miserabile et atrox spectaculum editur. nemini parcitur, caeduntur omnes, insepulti abiiciuntur, sanguine pinguescit humus. haec praecursor exercitus fecit. nec enim ulterius progredi ausus est, cum Romani et Blachi cum Scythicis cohortibus circumirent, caeteri vero Adrianopolim concurrerent tanquam in certum asylum. imperator vero Balduinus mense Martio egreditur, et Pleae comes Doloicus, et post eos Ericus Dandulus Venetiarum dux cum suis quisque legionibus. et vallo extra teli iactum ad Adrianopolim communito, postridie copias ad moenia adducunt et machinas erigunt. urbanis autem strenue se defendentibus per

τίνων τὰ χλωρὰ τῆς ὕλης ἐδρέπ
γνῶναι βουλόμενος ὁποῖα τὰ τ
καὶ ὅπως τὰς εἰς πόλεμον ἐκτάσ
τὴν πρώτην τῶν Σκυθῶν θέαν
μήματος πρὸς τοῖς ἵπποις καὶ τ
μὲν τῆς ἐπὶ Σκύθας κατὰ κράτο
ταβαλόντες συντύνου δρασμοῦ ἦ
πέμποντες καὶ μηδ' οὕτω τοῦ φε
μενοι· οἱ δὲ ἐπέκειντο καὶ οἱ
ἤννον πτηνώδεσι καὶ κούφοις δι
C πόμενοι. καὶ τοιοῦτον μὲν πέρι
φεσαν· ἐκ δὲ τούτου Ἰωάννης

9. τοῖς ζώοις] πρὸς τοὺς ξύλα
τίνων ἔπεμψεν B. 12. τὰ
βουλεύματα καὶ τὴν στρατείαν
πόλεμον B. 13. ἐκτάξεις Fa
δὲ στραφέντες καὶ τοξεύοντες ἐ
ρίζοντες ἢ μόνον σαγίτας πρὸς

dies complures non aliud proficieba
terentur. itaque vineis, multitudine
egestaque clam terra et cavernis ari
damenta hostibus non animadverte
et Romani contra ea parabant quae
diebus post Iohannes partem Scyth
pecudes et equos in herbidis pra
tes iubet, ut ea ratione hostium co

ἔχων αὐλῶσιν ἐνελόχα καὶ φάραγγας ὑπεδύετο καὶ τόποις ἐπηρμένοις εἰς γήλοφα παρεδύετο, μηδ' εἰ πάρεστιν εἰδέναι σπευδων τοὺς ἀντιπίπτοντας, ἐκ δὲ τῆς Σκυθίδος φάλαγγος ἧς ὁ Κοτζᾶς ἡγεμύνευεν, αὖ πάλιν ἐπελαύνειν τῷ στρατοπέδῳ τῶν Λατίνων διαφῆκε συχνούς, καὶ ταὐτὰ τοῖς πρότερον δρᾶν ἐγκελεύεται, κἀκείνης ἔχεσθαι τῆς πορείας ἐπαναστρέφοντας ἧς καὶ πρότερον εἴχοντο. οἱ δὲ ὡς τοὺς Σκύθας αὖθις θεάσαιντο, πρὸς σπουδὴν καὶ αὐτίκα μάλα καθοπλισάμενοι καὶ ὑπὲρ τὴν ἔναγχος εὐρώστως ἐπέκειντο, τὰ δόρατα σείοντες, καὶπὶ τὸ μᾶλλον τὸν δρόμον ἐπέτεινον. ὡς δὲ τὸ Σκυθικὸν προῆγεν εὐπετῶς, τὰ πολλὰ μηδὲ τοξεῦον ὄπισθεν, ὡς μὲν D κούφως ἐσταλμένον, ὡς δὲ καὶ δρομικωτέροις ἵπποις ὀχούμενον, ἔλαθον εἰς πλεῖστον ὅσον οἱ Λατῖνοι ἐξιππασάμενοι καὶ τῶν χωρίων ἁψάμενοι ἀμαθῶς ἐν οἷς αἱ πάγαι καὶ οἱ λόχοι καὶ τὰ ἔνεδρα διεσκεύαστο. ἀμέλει καὶ Σκυθικοῖς ἀκμῇσι περιπεπτωκότες στρατοῖς αὐτοὶ τῆς ὁδοῦ τῇ συντονίᾳ ἐκπονωθέντες καὶ λαμπρῶς ἤδη σφίσι τῶν ἵππων ἀποκναισάντων, ἐν μέσῳ ἀπολαμβάνονται· οἱ γὰρ Σκύθαι ὡς ἐς κύκλωσιν αὐτοὺς περιῄεσαν. οἱ δέ, ὡς ἐν χερσὶν ἦν ὁ ἀγών, τῷ πλήθει τῶν Σκυθῶν βιαζόμενοι ἀνετρέποντο τῶν ἵππων, πολλῶν ἕνα περιιόντων, καὶ δρέπανα καὶ βρόχους ἐδέχοντο κατὰ τῶν αὐχένων οἱ σκληροτράχηλοι, καὶ τὸ χρῆμα τῶν ἵππων κατῃκίζετο· ὡς γὰρ μέλαν νέφος καὶ συνεχὲς τῶν Σκυθῶν ἐπεισπεπτωκότων οὔτε ἵππων ἐξελιγμοῖς χρήσασθαι

1. ἔχων αὐλῶσιν] κατακρύψας εἰς τόπους ἐγκρυματώδεις καὶ λογγώδεις B. 21. δρέπανα] ἐδεσμοῦντο ἀπὸ σφονδύλου B.

suis copiis angustias et fauces subit, et post altos colles delitescit, in id intentus, ne suam praesentiam nossent hostes. et rursus e Scythica phalange cui Cozas praeerat, complures in castra Latinorum mittit, hortatus ut priores imitarentur eademque via reverterentur. Latini Scythis denuo visis, rursus festinanter armati maiori quam dudum contentione hastas in eos vibrant et cursum intendunt. sed cum Scythae facile anteverterent, ut et leviter armati et expeditioribus equis insidentes, ac nullas fere sagittas retro emittentes; Latini per imprudentiam longissime provecti in ea loca, in quibus laquei et insidiae erant, et in recentes Scythicas cohortes inciderunt, et ipsi et equi iam contentione itineris plane fatigati, et in medio Scytharum circumventi sunt. quorum multitudine, cum ad manus ventum esset, oppressi equis deturbantur, multis singulos invadentibus; et durae cervicis homines falces et laqueos in colla recipiunt, equi occiduntur. tanquam enim atra et perpetua nubes, ita Scythae irruebant, ut neque explicare sese neque diffugere possent. cecide-

εἶχον οὔτε διαφυγὰς δρᾶν. ἔπεσον οὖν ὁπόσον τοῦ Λατινι-
P. 397 κοῦ στίφους ἐπίλεκτον καὶ ταῖς τῶν δοράτων ἀγκοινήσεσι περιώνυμον. πίπτει δὲ καὶ ὁ τῆς Πλέης κόμης Δολόϊκος. ὁ δὲ Βαλδουῖνος χειροῦται καὶ ζωγρίας εἰς Μυσίαν ἀπάγεται, κἀκεῖθεν εἰς Τέρνοβον κομισθεὶς εἱρκτῇ παραδίδοται καὶ δε-
σμὰ ἕως τραχήλου ὑφίσταται. τὸ δ' ἀρχαιότατον καὶ πολυτροπώτατον κακόν, καὶ τῶν ἀπευκταίων πάντων Ῥωμαίοις πρωτουργὸν αἴτιον, ὁ τῆς Βενετίας δοὺξ Δάνδουλος, ὕστατος ἐλαύνων κἀκ τῶν φυγάδων τὴν τοῦ στρατεύματος ἧτταν ἐνωτισάμενος, ἐκ τοῦ αὐτίκα μεταστρέψας τὰ χαλινὰ ἐς τὸ
στρατόπεδον φέρεται. ὡς δὲ καὶ νὺξ ἐπῆλθε (περὶ γὰρ δείλην ὁ πόλεμος γέγονε), φῶτα εἰσενέγκασθαι ταῖς σκηναῖς ἐπισκήπτει καὶ πλείστους αἴρειν πυρσοὺς εἰς ἔμφασιν τοῦ μὴ
B πᾶσαν ἐκτριβῆναι τὴν στρατιὰν μηδὲ σφᾶς ἀποδειλιᾶσαι τὸν πόλεμον. περὶ δὲ πρώτην φυλακὴν τῆς νυκτὸς ἀναστὰς ἐκεῖ-
θεν εἰς τὴν παράλιον ἵκετο Ῥαιδεστόν, καὶ συμμίξας Ἐρρῇ
V. 326 τῷ τοῦ Βαλδουίνου κασιγνήτῳ ἄρτι ἐξ Ἀτραμυττίου ἐπανήκοντι μετὰ τῶν ἐκ Τροίας Ἀρμενίων, οἵπερ αὐτῷ συνεστράτευον, ἐς τὸ Βυζάντιον ἐπανέζευξε, διερρηγμένος τὸν στῆμονα τῶν ἐντέρων τοῖς πολλοῖς παρασάγγαις οὓς ἐν τῷ φεύ-
γειν διίππευσε, καὶ διφθηκῶς ἐπὶ μέγα τὸν κυλινδροφύλακα θύλακον.

5. τρίνοβον B. εἱρκτῇ] φυλακίζεται καὶ ἅλυσιν ἐν τῷ τραχήλῳ καὶ σίδηρα εἰς τοὺς πόδας βάλλεται B. 12. φῶτα] φωτίας μεγάλας καὶ ἱστίας ἔταξεν εἰς ὅλον τὸ στρατόπεδον ἐξάψαι B. 15. περὶ δὲ πρώτην] περὶ δὲ ὥραν δευτέραν τῆς νυκτὸς B. 19. διερρηγμένος] πάσχων τὰ ἔντερα τῆς κοιλίας αὐτοῦ καὶ τὰ αὐτοῦ μύρια σπασθέντα ἀπὸ τοῦ πολλοῦ πόνου καὶ κόπου καὶ τῆς συντόνου φυγῆς B.

runt igitur omnes lectissimi Latinorum equites et hastis vibrandis celebres. cadit et Pleae comes Doloicus. Balduinus vero capitur et vivus in Mysiam abducitur; atque inde Ternobum perductus et in carcerem coniectus vinculis usque ad collum oneratur. principale vero et callidissimum malum et omnium Romanarum cladium primus auctor, Venetiae dux Dandulus, qui extremum agmen claudebat, clade exercitus ex fugientibus cognita statim conversis fraenis in castra properat; et ut nox supervenit (nam praelium sub vesperam est commissum), lumina in tentoria inferri et plurimas pyras incendi iubet, ut Romani putarent non omnem exercitum periisse aut se pugnam detrectare. circa primam noctis vigiliam maritimam Rhaedestum cum Errico Balduini fratre, modo Adramyttio cum Troianis Armeniis reverso, qui sub eo militabant, congressus Byzantium rediit, intestinis fuga tot parasangarum ruptis et scroto in immensum tumefacto.

11. Ῥωμαῖοι δ' ἐπὶ τούτοις, ὅσοι τῇ Κωνσταντίνου προσέμενον, τῷ δέει τοὺς ὀδόντας ἐβάμβαινον, ἔτι προκείμενον ἔχοντες ὀφθαλμοῖς τὸν κατὰ σφῶν ἐκξιφισμὸν τῶν Λατίνων καὶ τὴν διαρπαγὴν τῶν προσόντων, ἃ κατ' οὐδένα δίκαιον λόγον ὑπέστησαν μετὰ τὴν ἐκ τῆς πόλεως ἄπαρσιν Βαλδουίνου, πέμπτην ἄγοντος καὶ εἰκοστὴν τοῦ Μαρτίου μηνός, τῆς τότε τρεχούσης ὀγδόης ἰνδικτιῶνος, τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ τρίτου καὶ δεκάτου ἔτους. ἀλλὰ καὶ ἡμεῖς ἔτι παροικοῦντες τῇ Σηλυβρίᾳ τὰ τῶν κακῶν ἔσχατα εἰκάζομεν πείσεσθαι, τὴν τῶν Λαονιτῶν ἀναίρεσιν ἐκ γειτόνων οὖσαν μόνον οὐκ ἐπόψιον ἔχοντες, καὶ παρὰ πόδας τοὺς σφαγέας θεώμενοι τὴν Σηλυβρίαν εἰσιόντας ξιφήρεις καὶ τὰς ἡμῶν ἀγκαλίδας καὶ τὰ ῥάκια προνομεύοντας. δεκὰς μὲν οὖν ἐπὶ δυάδι τοῦ Ἀπριλλίου μηνὸς ἐνειστήκει, τῆς ἑβδόμης ἰνδικτιῶνος, τοῦ ἑξακισχιλιοστοῦ ἑπτακοσιοστοῦ δωδεκάτου ἔτους, καὶ ἡ βασιλὶς πόλις πρὸς Λατίνων κεχείρωται· τῇ δὲ πεντεκαιδεκάτῃ τοῦ αὐτοῦ μηνός, τῆς ὀγδόης ἰνδικτιῶνος, ὑπὸ Σκυθῶν Λατῖνοι κατηγωνίσθησαν. ἀλλὰ τίνα τὰ ἐφεξῆς; ἕτερα μάστιξ στιλβοῦται Ῥωμαίοις, βαρύστονός τις καὶ πολυσύμφορος. ὁ γὰρ Μυσὸς Ἰωάννης, ἐχθρὸς ἅμα καὶ ἐκδικητὴς Ῥωμαίοις δεικνύμενος, ἐκδίδωσι τοῖς Σκύθαις εἰς προνομὴν ὅσαι κωμοπόλεις τῷ Βυζαντίῳ ἐγγίζουσαι φόρους τοῖς Λατίνοις εἰσέφερον. καὶ ἦν ἰδεῖν ἀλλότροπόν τι κακὸν καὶ ἀσύνηθες καὶ πᾶσαν ὑπερπαῖον θεοκίνητον μάστιγα. τὴν γὰρ αὐτὴν γῆν καὶ τὸ αὐτὸ ἔθνος ἐδῄουν γένη διττά, πῇ μὲν

11. Romani vero, qui adhuc in urbe erant, prae metu dentes quatiebant, etiamnum velut intuentes Latinorum contra se strictos gladios et direptionem bonorum; quibus rebus post Balduini discessum nulla iusta ratione afflicti erant, mensis Martii die XXV, indictione VIII anni VI MDCCXIII. sed et nos adhuc Selybriae inquilini extremas clades expectabamus, Daonitarum vicinorum interitum tantum non in conspectu habentes, et evestigio percussores strictis ensibus Selybriam ingredientes, et fasciculos nostros et pannos diripientes. imperatrix urbs XII die Aprilis, indictione VII anni VI MDCCXII a Latinis capta est: XV die eiusdem mensis, VIII indictione, Latini a Scythis victi sunt. sed quid secutum est? aliud flagellum atrocissimum et calamitosissimum emicuit. nam Iohannes Mysus, idem Romanorum hostis et vindex, oppida Byzantio vicina Latinis tributaria Scythis diripienda concedit. ibi novum et inusitatum malum, quod omne divinitus inflictum supplicium superat, erat cernere. terram eandem, eandem gentem bini populi infestabant, alias utrique, alias alternis irruentes. nam et Scythae obvia quaeque va-

ταγμάτος, ...
οὖν ἀναγόμενον. ὁ δὲ Ἰ
δύνας πόλεσιν ἐς Θεσσαλο
τὰ ἐκεῖσε καταστησόμενος
στήσων τῶν Λατίνων καὶ
ἀφιγμένος εἰς Σέρρας μετ
πόλεμον, καὶ μεθ' αἱμάτ
τῆς ἀναδείκνυται. οἱ γὰ
πρὸς τὰς μάχας καὶ τῷ τ
B δεξάμενοι πολλοὺς τῶν ὑ
δὲ ἡττηθὲν τὸ Λατινικὸ
τραπόμενον οὐκ ἔφθη συ
τειχισμῶν συνεισπίπτουσι
νοι Βλάχοι τε καὶ Ῥα
εἶτα ἡ μὲν ἦν ἐν πυρὶ κα

5. τῷ] τὸ APW.

stabant, et aliquot forma e
suis daemonibus immolaba
Scytharum de se victoria in
igni grassabantur. nec ullus
ferre posset, cum terra co
pernicie perniciosior; et La
quicquid e portu undecunq
Thraciis urbibus non immo
bitratu provinciam illam ce
vendicaret, igitur Serras pr

συλληφθὲν ἐν ἀπαγωγαῖς καὶ δεσμοῖς. τοῦ δὲ Λατινικοῦ στρατεύματος ὁπόσον μὴ κατὰ τὸν πόλεμον ἀπεγένετο, ὃ μὲν ὡς ἑκάστοις προυχώρει σέσωστο, ὃ δὲ τῆς ἄκρας λαβόμενον ἔνδον ἐπέμενε. τῇ δ' ὑστεραίᾳ περιελθὼν τὴν ἄκραν ὁ Ἰω-
5 άννης τοῖς ἐς αὐτὴν ξυμφυγοῦσι Λατίνοις παραδοῦναί οἱ τὸ χωρίον καὶ σώζεσθαι διακηρυκεύεται. οἱ δὲ οὐδὲν ἐφρόνουν ἐνδόσιμον, τὴν ἀπὸ τοῦ μαρκεσίου καραδοκοῦντες σύναρσιν. καὶ ἐν τούτῳ κλίμακας ὁ Ἰωάννης ηὐτρέπισε, καὶ κατὰ λό- C
φον ἀντικείμενον τῇ ἄκρᾳ μεγίστην ἐπιστήσας ἐλέπολιν τὰ
10 τείχη ἔτυπτεν. οἱ δ' ἐπὶ τῆς ἄκρας ὁπόσα τῶν τειχῶν ἀμυντήρια προπετάσαντες καὶ προεκτείναντες ἐπέμενον ἀνθιστά- V. 327
μενοι. ἐπεὶ δὲ θεάσαιντο τὸν Ἰωάννην ὡς ἐν πυρὶ τειχισμῷ τὴν ἄκραν διειληφότα παντὶ τῷ στρατεύματι καὶ πᾶσαν . ἀποκλείσαντά σφισι πάροδον ὡς μηδὲ ποσὶ δύνασθαί τινα
15 κλέψαι τὴν εἰς τὸν μαρκέσιον ἄφιξιν, ἐνδοῦναί οἱ τὴν ἄκραν. ἤθελον, εἴ σφισι σπένδοιτο καὶ συγχωροίη τὴν ἔξοδον ἀπαθῶς, ὡς ὅπλων καὶ τῶν ἵππων ἔχουσι. τοῦ δὲ μηδ' ἄκροις ὡσὶ τὰς ἐπὶ ταῖς συνθήκαις ταύταις παραδεξαμένου σπονδάς, αἰτοῦνται τὴν εἰς τὰ σφέτερα ἤθη μεθ' ἡγεμόνων ὁδοῦ D
20 μέχρι τῶν Παιονικῶν ὁρίων ἀπόπεμψιν. καὶ ὡς προύβησαν ἐπὶ τούτοις ὅρκια, ὁ μὲν εἶχε τὴν ἄκραν, οἱ δ' ἀκίνδυνον τὴν ἔξέλευσιν.

3. τῆς ἄκρας] κάστρου τοῦ λεγομένου κουλᾶ B. 4. περιελθὼν] ἔξωθεν σταθεὶς τοῦ κουλᾶ B. 7. post σύναρσιν B: περὶ γὰρ τὴν Θεσσαλονίκην ἐκεῖνος ἦν. 8. καὶ κατὰ] καὶ ἐς τὸν καταντικρὺ τοῦ κουλᾶ ἕτερον βουνὸν κείμενον ξύλα στήσας μηχανικὰ τὰ τείχη ἔκρουεν. B. 12. ἐπεί] ὡς δὲ εἶδον τὸν Ἰωάννην τοσαύτην ἀσφάλειαν περιποιήσαντα ὡς μηδέ τινα ἔχειν ἄδειαν ἐξελθεῖν. B. an forte ὡς ἐμψύχω τειχιμῷ? an ὡσεὶ περιτειχισμῷ? 19. μεθ' ἡγεμόνων] μετὰ καὶ προβόδου B.

vincti. ex Latini exercitus reliquiis alii, ut quisque potuit, saluti suae consuluerunt, alii arcem occuparunt. quam postridie circumiens Iohannes Latinis, si eam dederent, incolumitatem promisit. qui cum marchionis freti auxiliis eam postulationem aspernarentur, scalas parat, et in tumulo quodam e regione arcis machina maxima collacata moenia ferit. Latini vero depromptis omnibus iis quae ad defensionem usui essent repugnabant, donec Iohannem muro velut igni et omni exercitu totam arcem circumdedisse et omnem sibi exitum interclusisse viderunt, ut nec pedes ullus clam ad marchionem pervenire posset. tum vero ea conditione deditionem facere voluerunt, si sibi cum armis et equis tuto discedere liceret. quam illo prorsus repudiante, postulant duces sibi domum reversuris attribui usque ad Pannoniae fines. sic foedere icto ille arcem occupavit, hi citra discrimen abierunt.

οὐν πύθοιτο [illegible] , [illegible]
καὶ τὴν πορείαν ἐπανιὼν ἐπέτεινε.
P. 399 ἐγγίσας συμβάλλει τοῖς ἀγγέλλουσ
καὶ ἀποσόβησιν καὶ τὴν ἐσαῦθις [illegible]
λει καὶ τοῖς τοιούτοις ἀκούσμασιν
πρὸς τοὺς οἰκείους, μεταστρέψας
φέρεται, τὸν Ἰωάννην ἀμύνασθαι
νότων. ἀλλ' οὔπω ἔφθη ἐπιβαλεῖ
ἄγγελος ἕτερος ἐφίσταται τὴν τοῦ
σκων ἀπώλειαν καὶ τὴν τοῦ βασι
σιν. ἣν οὖν ὤδευε πρότερον πάλι
νίκην εἴσεισι· καὶ γνοὺς ἀληθῆ ὁ
πρότερον, ἐπικαλαμᾶται τὸ μὴ ἀκ
B τῆς πόλεως ἐν τῷ ἀμήτῳ τοῦ πο

1. τὰ om A. 6. εἰς τὴν ἀκρ
ἐτζιγμένον B.

Sed quis status ducis eorum mar
tereundum est, dum adhuc Pelopon
cum Scuro dimicat, litteris uxoris r
fit certior: ipsam urbe expulsam in
dies iam obsideri, urbem vero a Bla
rum locorum Iohanneae ditionis prae
quibus auditis marchio quamprimum
maturavit. sed antequam Thessaloni
hostium cladem et profligationem nu
restitutam. earum rerum fama delec

συνέστη ἀφίξεως. οὓς μὲν γὰρ τῶν πολιτῶν ζημιώσας εἰς χρήματα γυμνοτέρους ὑπέρου διαφῆκε τῆς πόλεως, οὓς δὲ ἀπέκτεινεν, οὓς δὲ ἀπεκρέμασεν ἐκ τοῦ λαώδους πλήθους καὶ τοῦ ἱερωμένου θεῷ τάγματος, καὶ τὸν δυσπραγῆ ἐν βασιλεῦσιν Ἀλέξιον καὶ τὴν τούτου σύνευνον Εὐφροσύνην διαποντίους τῷ τῶν Ἀλαμανῶν ἐξέπεμψεν ἄρχοντι. φεῦ φεῦ τοῦ καινοῦ τοῦδε καὶ ἀνηκούστου παρὰ Ῥωμαίοις ἀκούσματος, εἰπεῖν δὲ καὶ ἀθεάτου ἐς δεῦρο θεάματος! ταῖς δὲ Σέρραις ἐμβαλεῖν τὸν Ἰωάννην ἐνωτισάμενος, μήπω δὲ καὶ τὸ πέρας τοῦ συστάντος ἐκεῖσε πρότερον πολέμιου πυθόμενος, στέλλει τοὺς συναρήξοντας τοῖς ἐν ταῖς Σέρραις ὁμοφύλοις. οἱ δ' ἐν τῷ ἀπιέναι τὰ ξυνενεχθέντα μαθόντες τὸν μὲν πόλεμον οὐδαμῶς διελύσαντο, ὡς ἤδη ἐν τῷ δεινῷ καθεστῶτες, καίπερ εἰδότες γενησόμενον πρὸς πολὺ περιόντα πολέμιον· συρρήξαντες δὲ τοῖς ἐναντίοις κατὰ κράτος ἡττῶνται καὶ τρέπονται, Σκυθῶν αὐτοῖς προσβαλλόντων οὕτω συχνῶν κἀκ τῶν ἄλλῃ καὶ ἄλλῃ ἐκπιπτόντων ὡς ἔστι καὶ τὰ σμήνη θεάσασθαι τῶν σίμβλων προϊόντα καὶ τοὺς σφῆκας ἐξιπταμένους τῶν ἐνοδίων χηραμῶν. οὐκοῦν τοιαῖσδε μάχαις διταῖς τὸ ἧττον ἀπενεγκάμενος ὁ μαρκέσιος αὐτὸς μὲν εἴσω τῆς Θεσσαλονίκης ἐγκλείεται, ὁ δέ γε Ἰωάννης κατὰ πᾶσαν ἄδειαν ἐς Βέρροιαν ἄπεισι, καὶ τὰς λοιπὰς πόλεις ὅσαι μαρκεσίῳ ὑπέκυπτον ἑαυτῷ προσῳκείωσεν.

Ὡς δ' εἶχον οἱ ἐν τῇ πόλει Λατῖνοι καὶ τάσδε τὰς δυσ-

2. ὑπέρου] τοῦ κοπάνου B. 16. Σκυθῶν] κομάνων ἐπεισπεσόντων αὐτοῖς. καὶ ἕτεροι δὲ οἱ πρότερον τῷ μαρκεσίῳ ὑποταγέντες κατ' αὐτοῦ ὡς σφῆκες διηγέρθησαν B.

alios suspendit, tam ex laicis quam ex ordine deo consecrato. et miserrimum imperatorem Alexium cum Euphrosyna coniuge per mare ad Alemanniae principem misit. heu heu rem novam et miserabilem et apud Romanos inauditam! heu spectaculum nunquam visum hactenus! audita porro Iohannis ad Serras impressione, auxilia suis popularibus qui in ea urbe erant mittit. qui quamvis eventu rei in itinere cognito, nihilo magis bello abstinuerunt, ut iam in ipso periculo constituti, licet sibi cum hoste longe superiore negotium fore intelligebant. praelio commisso vincuntur et profligantur a maxima Scytharum multitudine undique irruentium, non secus quam apum examina, quae ex alvearibus effunduntur, aut crabronum instar e cavernis iuxta vias erumpentium. duobus his praeliis victus marchio se Thessalonicae includit. Iohannes vero per summam licentiam Berroeam et alias marchionicas urbes occupat.

Ea quoque clade audita, Latini qui Byzantii erant, consilium

τος προεκπεμψαντες, ἣν ...
ἰσχύος ἀνεπεγκλήτως δρᾶν ἐκδεδ
ἐπιέναι τὰς ἀποστάσας· ὅθεν καὶ
ταγμα οὐδὲν τῶν ἀνηκέστων κ
ἀλλὰ καὶ Βενέτικοι νῆας μακρὰς
P. 400 ραλα μέρη ἐλῄστευον πειρατεύον
Καλλιπόλει προσσχόντες ὅσα χείρ
ἐθῶν ἀλλότρια διεπράξαντο. ἦσα
βαρυαλγέστατα καὶ ἀνύποιστα. (
ρῆς, τὴν Ἀρκαδιούπολιν ὡς ἀνέμ
λάξας, τὴν δὲ εἴσοδον τοῦ Ἄπρω
ἐκεῖ προσφέρεται, τὸ ἐνοικοῦν
ποίμνιον ἦν καὶ βουκόλιον ἀλλ' ο
μενον, καὶ βίᾳ μᾶλλον ἢ πειθοῖ τ

9. ἀμέλει] ὅθεν καὶ τοὺς ἐξ οἰκε
λουθῆσαι προαιρεθέντας σύνταξι
καλλιουπόλει B, more suo.

ineunt quid sit agendum, concilio al
rino Venetiarum duce indicto: nam l
bellum capessere placuisset et copias
quae a Latinis defecerant, dum pop
Iohannes aliis bellis occupatus iisque
set. itaque partem exercitus, quae u
vellet (Rottam ipsi vocant), ablegar
defecissent suo arbitratu tractandi. e
lere, a nullo piaculo abhorruit. V
longis navibus infestabant, et Callin

προσχωρῆσαν ἐκουσιότητι. πολλοὶ δὲ καὶ σχοινόδετοι κατὰ κώμας καὶ πόλεις περιαγόμενοι ζωγρίαι τὰ λύτρα ἐρανιζόμενοι τοῖς συνειληφόσι κατετίθεσαν. οἱ δ' ἐν ταῖς ἀπαγωγαῖς B ταύταις ἢ νοσηλείᾳ σώματος προσπαλαίσαντες ἢ τῷ τῆς ὁδοιπορίας μήκει ἐκτονωθέντες τῆς τραχηλοκάκης ἀνιέμενοι οὐμενοῦν ὡς ὁμόπιστοι φθινύθειν εἰῶντο καὶ παρακατατίθεσθαι μόρῳ φυσικῷ τὴν ψυχήν, ἀλλ' ἀπεδειροτομοῦντο ξίφεσιν, εἴτε μὴν κατὰ σπλάγχνων βαθεῖαν ἐδέχοντο τὴν πληγήν. ὁ δ' Ἔρρῆς τὴν Ὀρεστιάδα καταλαβὼν στρατοπεδεύεται περὶ αὐτήν, χάρακά τε βαλὼν καὶ βαθεῖαν τάφρον ὀρωρυχὼς (ταύτην γὰρ τὴν πόλιν ἀγώνισμα καὶ ἆθλον καὶ συμπέρασμα τῶν πόνων οἱ Λατῖνοι ᾤοντο) μὴ ἂν ἑτέρως ἐκεῖθεν ἀπονοστῆσαι τοῖς ἐν τῇ πόλει διήγγελλεν, εἰ μήτ' αὐτοὶ ξυμβαῖεν ὁμολογίαις ἢ γοῦν νόμῳ πολεμίῳ σφᾶς αὐτὸς παραστήσαιτο. C οἱ δὲ καὶ πρὸς μόνην τὴν τῶν συμβάσεων ἐνήχησιν ἀποκναίσαντες μὴ Ῥωμαίοις ἐκ τοῦδε καὶ Λατίνοις ἔλεγον εἶναι ὅρκια πιστά, ἐπειδὴ καθάπαξ Λατῖνοι τὰ μὲν ἐς πίστιν ἀβέβαιοι, τοῖς δὲ προσχωροῦσι θηριώδεις, τοῖς δὲ πολέμῳ χειρουμένοις ἀνηλεέστατοι παρὰ Ῥωμαίοις ἐγνώσθησαν. ταῦτα πυθόμενος Ἔρρῆς πρὸς ἔργοις γίνεται. διὸ σαῖς μὲν οὖν τάφροις ὀρυκταῖς περιεζωσμένην τὴν πόλιν εὐρείαις τε καὶ βαθείαις εὗρατο, τοὺς δὲ πύργους τῆς πόλεως

10. βαθεῖαν τάφρον] μέγα χαντάκιν B. 22. τοὺς δὲ πύργους] ἐπὶ δὲ τῶν πύργων ξύλα μεγάλα κείμενα δοκάρια καὶ ἔξωθεν κατὰ πολὺ κρεμμάμενα καὶ σκεπασμένα ὄντα ἀπὸ πετζίων βοεικῶν B.

urbes et pagos circumducebantur, ut emendicata pecunia se a victoribus redimerent. in ea circumductione si qui aut morbis oppressi aut viae longitudine fatigati deficiebant, laxato colli vinculo non ut Christiani expirare sinebantur et naturali morte obire, sed gladiis obtruncabantur aut confodiebantur. Erricus vero castris ad Orestiadem positis profundum vallum communit. nam eam urbem unicum certamen, praemium et finem laborum arbitrantes, obsessis denuntiabant se inde non recessuros nisi ea vel sponte dedita vel vi expugnata. hi vero ad solam deditionis mentionem exacerbati responderunt nullum in posterum foedus inter Romanos et Latinos posse interedere, quod et fide lubrica et in dedititios belluina immanitate, in bello subactos maiori etiam crudelitate uterentur. his auditis Erricus operibus intentus urbem duabus latis et profundis fossis circumdatam invenit, urbis vero turribus pegmata altissima adiecta, quae pellibus et taurinis tergoribus contra ignem et ad propugnatores defendendos obtegebantur. supra eas ligneas turres mali defige-

ἐπὶ τῶν ἄκρων δεξαμένους ἐκ δονάκων πήγματα ἐς πολὺ τοῦ ἀέρος ἀναβαίνοντα, καὶ προκαλύμματα ἔχοντας ἐκ διφθερῶν τε καὶ δέρρεων, ὡς μήτε πυριφλέκτοις βάλλοιντο βέλεσι καὶ
D εἶεν ἅμα εἰς προβολὴν τοῖς ἀπὸ τούτων μάχεσθαι μέλλουσιν. ἀλλὰ καὶ τῶν ξυλίνων ἄνωθεν πύργων ἱστοὶ κατεπάγησαν, ἔχοντες οἷα καὶ ὅσα ἐπιχυθέντα ἐξάψαι τε φλόγα καὶ εἰς μέγα προκαλέσασθαι πέφυκεν. ἐνιαχοῦ δὲ καὶ ἐπ' αὐτῶν προυφαίνοντο τεκτονικὰ πολεμιστῶν ἀνδρῶν ἀναπαύματα, ὁποῖα εἰσανίασιν οἱ ἐπὶ τῶν ἰκρίων τὸν βυθὸν διορῶντες καὶ τὰ ἔθνη τῶν νεπόδων ἐπισκοπεύοντες. ἐπί τινων δὲ καὶ λίθους δι' ἀλύσεων ἠρτημένους, ἐπιχαλωμένους διὰ μηχανῶν καὶ αὖ πάλιν ἀναφερομένους καὶ πρὸς τὰς χρείας τῶν καιρῶν μεταγομένους. ἐπὶ δὲ καὶ τέσσαρα πρὸς τοῖς δέκα πετροβόλα ὄργανα ἐπὶ τῶν πύργων ἱστάμενα. ἔδοξεν οὖν Ἐρρῇ τε καὶ τῷ στρατεύματι τῆς μὲν ἔξω τάφρου πολέμῳ κρατῆσαι, χωσθείσης δὲ τῆς δευτέρας προσάγειν οὕτω τὰς μηχανὰς
V, 329 τοῖς τείχεσι. πονήρως οὖν ἡ ἐφεξῆς τάφρος μετὰ τὴν τῆς
P. 401 πρώτης ἅλωσιν ἐχωννύετο, καὶ κόρσαι ἀναύχενες καὶ ἄκορσα σώματα τῶν πιπτόντων ἀμφοτέρωθεν ἀνεπλήρουν ἐν πολλοῖς τὴν τῆς τάφρου κένωσιν. ὡς δ' ὀψέ ποτε καὶ μεθ' αἵματος κέχωστο, προσάγουσι τὰς πυργοειδεῖς τοῖς τείχεσι κλίμακας. ἔνθα ἡ μὲν τῇ τάφρῳ ἐνίσχεται καὶ ὑποχαλᾷ τῆς ὀρθότητος τῷ ἔτι μανῷ καὶ διακένῳ καὶ νεοχύτῳ τῆς χώσεως· ἡ δὲ λοιπὴ τῶν τειχῶν ἰθὺ προβᾶσα οὔπω διαβάθραν ἔβαλλε, καὶ τοῖς ἐκ τῶν ἱστῶν ἠωρημένοις ἄνωθεν τῶν πύργων βά-

5. ἱστοὶ] ξύλα ὡς κατάρτια B. 9. ἰκρίων] ἰκρίνων A. 13. πετροβόλα ὄργανα] χαλασιάρια B.

bantur, in quibus ea erant quae flammam maximam incendere et late spargere solent. alicubi in eis etiam fabrefacta bellatorum sedilia visebantur, cuiusmodi eorum sunt qui ex tabulatis fundum maris explorant et pisces captant. in aliquibus saxa catenis suspensa gravibus et demittebantur et rursus attollebantur, et prout res postulabat, transferebantur. praeterea quatuordecim tormenta in turribus conspiciebantur. quare Errico et exercitui visum est priorem fossam vi occupare, secundaque expleta machinas muris admovere. ac altera fossa, priore capta, difficulter explebatur, et capita et trunci cadaverum eorum qui utrinque cadebant, hiatus eius multis in locis explebant. qua tandem non sine sanguine complanata scalas turritas ad moenia adducunt; quarum altera in fossa detenta ob aggerem recens congestum, vacuum alicubi et rarum adhuc, subsedit; altera recta ad murum producta, priusquam diabathra coniiceretur, saxis

ρεσι τῶν λίθων πιεσθεῖσα καὶ τοῖς ἐκ μηχανῶν ἀφέμασι συντριβεῖσα πρὸς οὐδὲν ἐγένετο χρήσιμος. μάλιστα μὲν οὖν καὶ πολλοὶ τῶν ἀπ' αὐτῆς μαχομένων κακῶς ἔπαθον, ἐν οἷς ἦν καὶ Πέτρος ὁ ἐκ Πλάντζης ὁ κράτιστος ἅμα πάντων καὶ εἰς ἀνδρείαν ὀνομαστότατος, λίθῳ τὸ κράνιον κατεαγείς. καὶ B τότε μὲν οὕτω τὰ Λατινικὰ διαπεπτώκασιν διαβούλια· τῇ δ' ὑστεραίᾳ τοῖς τείχεσιν οἱ πύργοι πάλιν προσάγονται καθ' ἕτερον μέρος τῆς πόλεως, καὶ εἰσάνεισί σφας τὸ τοῦ στρατεύματος μαχιμώτατον. ἐν τούτῳ δὲ οἱ τῆς πόλεως ἀπομαχόμενοι ὀλίγου πᾶσαν τὴν μηχανὴν ταῖς βάρεσιν ἰδόντες ἐγγίσασαν καὶ γέφυραν ποιητὴν πρὸς τῶν ἐπ' αὐτῆς τεταγμένων διαγομένην καὶ τῶν τειχῶν ἐπιψαύουσαν, ἀναπετάσαντες τὰς πύλας ἐπεκθέουσι μεθ' ὅπλων καὶ τῶν ὅσα τρέφουσι πῦρ καὶ τὴν φλόγα ἐπὶ μέγα αἴρουσι, καὶ μάχη κρατερωτάτη τῶν πρώην συνίσταται. ἄπρακτοι τοίνυν καὶ τότε μεταχωρήσαντες καὶ αὐτὰ εἶχον τὰ μηχανήματα ἐπ' ὄψεσιν C αὐτῶν ἐμπιπρώμενα. ἀλλὰ κἀκ τῶν ἔξωθεν στρατεύματα Βλάχων τε καὶ Σκυθῶν περιιόντα τὸν χάρακα οὐκ εἴων ἐς τὴν παρεμβολὴν εἰσάγεσθαι τὰ βιώσιμα. ἀμηχανίᾳ τοίνυν ληφθέντες καὶ διατεθέντες ἀθυμότερον, στείλαντες ἐς Βυζάντιον σύναρσιν ἤτουν ὑφ' ἑτέρας νεαλοῦς δυνάμεως. καὶ ἦσαν οἵδε ὑπ' ἀνάγκης μᾶλλόν τι ἢ περ κατὰ γνώμην ἐξήεσαν, ἀφορισμῷ καὶ ἀναθέματι μὴ οὕτω δρῶντες ὑποβαλλό-

1. πιεσθεῖσα] τζακισθεῖσα ἀχρησίμευτος παντελῶς ἐφάνη B. 3. ὡς καὶ πολλοὺς — ἀποθανεῖν B. 4. Πλάντζης] βάτζης B. 20. στείλαντες] γράφουσι τοὺς ἐν κωνσταντινουπόλει εὑρισκομένους ὡς ἂν καὶ ἄλλην πέμψωσι νέαν στρατίαν, εἴτε ἀπὸ τῶν ἐντὸς τῆς πόλεως εἴτε ἀπὸ τῶν ἔξωθεν. οἵτινες καὶ ὑπ' — B.

tormentorum contrita est et facta inutilis. in qua qui pugnabant, plurimi male sunt accepti. tum Petro Plancio, viro robustissimo et ob fortitudinem celeberrimo, calva est saxo confracta. itaque eo die conatus Latinorum irriti fuerunt. postridie turres denuo moenibus alia parte urbis admoventur, easque viri bellicosissimi conscendunt. interea propugnatores cum fere omnes machinas turribus imminere viderent, et pontem sublicium a certis traduci et moenia iam contingere, armati portis erumpunt, quicquid excitando augendoque incendio aptum est secum portantes. pugna igitur atrocissima commissa, tum quoque infectis rebus, machinis in conspectu eorum crematis, recedunt. sed et foris Blachorum et Scytharum exercitus circa vallum obequitans commeatum in castra apportari non sinebat. itaque consilii inopes, et animorum alacritate fracta, novas copias Byzantio accersiverunt, quae quidem necessitate magis quam volun-

τοῦ τῶν ἀήθων εἰς βρῶσιν
ἅπαντας. ἅραντες τοίνυν ἐκ
τοῖς περὶ τὸ Παμφιλον χωρί
καὶ μακρῶν καμάτων ἑαυτοι
μόνον τοῖς κακοῖς τοῖσδε π
αὐτοῖς συμμῖξαι καὶ συνελ
πόλεως, Βλαχικοῖς καὶ Σκυθ
τάγμασι μικροῦ δεῖν ἅπαντε
πήξεις ἄλλων μηχανῶν ἀπιδ

1. πρὸς τε τοῦ] ὑπὸ τοῦ τότε ε
νου B. 3. ἦν δὲ ὁ Θωμᾶς οὗτος
εἰπεῖν καὶ ῥαμένον τῷ αὐτοί
καρποὺς τῶν χειρῶν ἐλευθε
μένος ὡς μηδεμίαν τρίχα φ
αὐτοῦ φαίνεσθαι μάγουλον
10. ὑπό τε τῶν] ἀπὸ τῆς θυ
σωμάτων B. 14. οὐχ οὕτι
τήθησαν νόσου, ἀλλὰ καὶ
σαν, τὰ αὐτὰ ἔπασχον. κα
ἐφονεύθησάν, στράτευμα β
ὁδὸν om A.

tate exibant: ni ita facerent, s
tano patriarcha nuper Venetiis
interdicendi. is Thomas patrio
constringebat ut acubus illi ass
pectore aperto; malis ita rasis
nullum pili vestigium cerneret

τῶν παραλίων συνέλεγον πόλεων, καὶ ὅσων ὑπεσπάνιζον, ἐκ P. 402
τῶν τῆς Προποντίδος ὀρῶν ταυτὶ ἀπέτεμον, ἐργεπείκτην πεπομφότες ἐκεῖσε τὸν τῆς Πετούνης κόμητα Κόνωνα. ἐπεὶ δὲ εἶχον ἅλις τῶν ἑλεπόλεων, ἐν πολλοῖς αὐτὰς καὶ σιδήροις διαλαβόντες ὡς εἶεν τοῦ πυρὸς σθεναρώτεραι, πρὸς τοῖς πολέμοις καὶ πάλιν γίνονται. καὶ δὴ τὴν Ὀρεστιάδα παρεικότες ὡς ἐξ ὧν ἔπαθον οὐχ ἁλώσιμόν σφισι δόξασαν, ἔγνων τῷ Διδυμοτοίχῳ προσβαλεῖν. οὐκοῦν καὶ παρ' αὐτῷ στρατοπεδευσάμενοι πολιορκεῖν εἰς νέωτα τὸ φρούριον διηρρένωντο, καὶ τὰ τειχομαχεῖα προσάγειν, ὡς ἂν ἐξέλωσιν, ἡτοιμάζοντο. ἀλλ' οὔπω ἐπὶ τῷ παροξυσμῷ τούτῳ τῶν Λατίνων ἔδυ ὁ V. 33a
ἥλιος, καὶ πληροῦται νεφῶν ὁ ἀήρ, καὶ ῥαγδαίας βροχῆς θεό- B
θεν ἀφορισθείσης ἐν τοῖς ἀνόπιν τοῦ Διδυμοτοίχου μέρεσιν ὁ τῷ φρουρίῳ παραρρέων Ἕβρος διευρυνθεὶς ὑετῷ καὶ μέγας ἐκ μικροῦ τοῦ τότε φανεὶς τὰς πεδιάδας ἐξυδατοῖ, καὶ τῷ στρατοπέδῳ τῶν Λατίνων ἐξαπιναίως ἐπικλυσθεὶς ὅπλα παρασύρει καὶ μηχανάς, ἵππους ἀπάγει πολεμιστάς, ἄνδρας διανηχομένους τὸν Ἀχέροντα δείκνυσιν· εἰ δ' οὐκ ἦν ἐσέτι φαυσιβολῶν ἥλιος ἀλλὰ τὸ δεινὸν νυκτὸς ἐπεγένετο, τὸ πλεῖον ἂν ἀπώλετο τοῦ στρατεύματος. τῷ δ' ἐξαισίῳ τοῦ πράγματος καταπλαγέντες ὁπόσοι τῶν Λατίνων ἐς νοῦν ἔβαπτον μηδ' αἱμάτων ἄνδρες ἐς τὸ παντελὲς ἐτύγχανον ὄντες, μεταναστεύειν ἐκεῖθεν εἵλοντο καὶ τοῖς ἄλλοις οὕτω ποιεῖν ὑπέθεντο. C

2. ἐργεπείκτην] πρωτομάστορα καὶ ἐργάτην τῶν μηχανῶν ἀναδείξαντες τὸν τῆς πετρώνης κόμητα κώνωνα B. 14. Ἕβρος] εὖρος A. 18. εἰ δ' οὐκ] καὶ εἰ μὴ τὸ τῆς ἡμέρας φῶς ἔφεγγεν B.

chinas structuri malos biremium ex maritimis civitatibus collegerunt, et si quid deerat, ex Propontidis montibus arbores secuerunt, misso illuc qui opus maturaret, Conone Petunae comite. machinarum iusta copia parata, quas multis in locis ferro contra incendia munierant, belli fortunam denuo tentarunt; et Orestiade omissa, quam suis cladibus admoniti inexpugnabilem esse credebant, Didymotichum oppugnare statuerunt, ad eamque rem castris ibi positis et productis arietibus se pararunt. sed antequam sol super eo Latinorum conatu occideret, aër nubibus impletur, et vehementissimo imbri fluvius Eurus dilatatus et ex parvo magnus factus campos aquis implevit, et ex castris Latinorum subito et arma et machinas et equos bellicos et viros avexit; quodsi sol occidisset ac id malum noctu ingruisset, maior pars exercitus periisset. hac inusitata re admoniti Latini cordatiores et non plane sanguinarii inde discedendum esse censuerunt, et eius

ὁρᾶν οὐκ εἶχον τοὺς ἀκοντιστὰς
λόγχας ἠκόνησαν, ταῦτα τοῖς ὑπ
κατ' αὐτῶν τοὺς ὀδόντας ἔβρυχο
D μαίων περὶ τὸ κακῶς πάσχον ὁμ
καὶ ἡ παντελὴς παρόρασις καὶ
οὔτε γὰρ χρήμασιν ἢ στρατεύμα
νοντο πόλεων. (13) ἀλλ' οἱ μὲν
ρήσαντες τὴν Θρᾴκην ἔκοπτον,
ὑπὲρ ἐλευθερίας Ῥωμαίων κίνδυ
τηγοὶ τοῦ ἐκ σφῶν κινδύνου πα
ἦσαν οὐδαμοῦ, οὔτε μὴν σωτήρι
τοῖς καὶ τοῖς φυλέταις μετήλθοσι
παραδοθέντες καὶ αὐτοὺς ἀπὸ θε
καθήκοντα δρᾶν καὶ μηδαμῶς

2. τῷ pr om A. 20. οὐδαμ
22. καὶ — μαχρύναντες om A.

sententiae aliis auctores fuerunt. sed
raculo eo consternatus celeriter inde
Byzantium reversis, aliis civitates m
Latinis parebant, custodire iussis.

Verum ne sic quidem mala qui
manis fuerunt, quod Latinorum desp
et implacabiles animi antiquum obti
contra quos saepe hastas acuerant, l
ximos quosque perpetrabant, et con
et Orientalium Romanorum negligc

δήμους καὶ φατρίας διέστησαν, πόλεις ἐξέμηναν, κατ' ἀλλήλων ὡπλίσθησαν τοὺς θεσμοὺς τῆς συγγενείας συγχέαντες, καὶ γεγόνασι φυλὴ φυλὴ καὶ Ἰσραὴλ Ἰούδας, τὸ πάλαι παρὰ τῷ προφήτῃ θρηνούμενον, οἱ μὲν τῷδε συννεύσαντες καὶ ὡς βασιλεῖ σφῶν προσφερόμενοι, οἱ δ' ἐκείνῳ προσρέψαντες, ὡς καὶ τοῖς πολλοῖς καὶ τοῖς φρονίμοις κρίνεσθαι εἰς κατάραν καὶ πλησμονὴν καὶ τῆς ὁμογενείας ἀπαλλοτρίωσιν. ὡς δέ ποτε συνέδραμον ἐς φιλίαν, οὐδ' οὕτω μὲν ὡς εἰς μίαν συνηρμόσθησαν γνώμην, οὐδ' ἐς συνασπισμὸν ἀλλήλους παροτρύναντες ἐπαρῆξαι ὅλως ταῖς ἑσπερίαις προέθεντο πόλεσιν, ἀλλ' εἰς χειροτονίας βλέψαντες βασιλέων οἱ μὲν κατὰ τὰ ποτώμενα τῶν ζώων συμφορηδὸν συνανίπτανται τῷδε καὶ συναπαίρουσιν, οἱ δὲ καὶ ῥάμνους ἀκανθώδεις ἐς ἀρχὴν προχειρίζονται. καὶ ἦν πολυαρχία πάλιν τὸ γεγονὸς ἐπινεμομένη τὴν ἕω, καὶ θηρίον τρικάρηνον ὑπὸ τῶν ἀβελτέρων διαπλεχθέν. ὁ μὲν γὰρ Μαυροζώμης Μανουὴλ τὸν Καϊχοσρόην ὑποδύς, οὐ πάνυ πρὸ πολλοῦ τῇ σφετέρᾳ θυγατρὶ συναφθέντα καὶ τῆς Ἰκονιαρχίας αὖθις λαβόμενον, ἧς εἶχε πρότερον ἐκπεσών, πάντα ἦν μηχανώμενος, εἴ πως αὐτῷ συναιρομένου τοῦ βασιλείου τύχῃ ὀνόματος, καὶ τὴν ὅσην ποτίζεσ Μαίανδρος ἐπιὼν μετὰ Τούρκων ἔφθειρέ τε καὶ ἔκειρεν. ὃ

P. 403

B

4. τῷδε] τῷ δδεῖνι B. 11. οἱ μὲν ἐπὶ τοὺς δῆθεν ἀξίους ὥσπερ δένδρα εὐγενῆ ἐψήφιζον, οἱ δὲ καὶ ἀκανθώδεις ῥαδάμνους εἰς τὴν τῆς βασιλείας ἀρχὴν προεβάλλοντο B. 14. καὶ ἦν πολυβασιλεία μᾶλλον τὸ γενόμενον, τὴν ἀνατολὴν ὡς θηρίον τρικέφαλον κατατρώγουσαν, ἀπὸ τῶν ἀσθενεστέρων ἀρχόντων καὶ ταύτην συντρίβουσαν B. 17. ὑπενδυσάμενος B.

deserti a deo atque impii stupore quodam affecti, atque in factiones divisi, urbes concitarunt; alii alios oppugnarunt violato iure cognationis; tributim segregati sunt; Israel Iudas factus est, ut vetus ille propheta queritur, aliis huic ut regi addictis, aliis ad alium confluentibus. quae res multis, prudentioribus praesertim, execrationi similis, et destruendae necessitudini et inducendae alienationi esse videbatur. etsi autem tandem ad amicitiam ineundam concurrerunt, tamen ne tum quidem plane consenserunt, aut alii alios ad belli societatem cohortati ullo modo Occidentalibus urbibus opem ferre statuerunt: sed creandis imperatoribus intenti instar gregatim volantium avium cum uno quodam subvolabant et discedebant; alii etiam spinosis rubis imperium deferebant. unde multorum dominatus Orientem depascebat, tricipiti quadam bellua a vecordibus implexa. nam Maurozomes Manuel Caichosrois auxiliis fretus, cui non multo ante recuperato Iconio filiam desponderat, nihil non conabatur ut imperatorio nomine potiretur, et omnem Maeandrium tractum cum

νούμενος καὶ μὴ ὀπτανόμ
ὁ Δαβὶδ οὗτος προσεπέλ
μείρακος, Συναδηνοῦ τὴ
ὁ Λάσκαρις κατ' αὐτοῦ
λείας ἔμφασιν δοὺς πο
D ἄλλην καὶ δύσβατον, καὶ
ὅθεν καὶ στρατηγήσας οἱ
καὶ τὸ ἐκείνου στράτευμ
ραιτέρω προϊέναι τῆς Π
οὐ πολὺ δὲ καὶ τῷ Μαι
τοῦτον. καὶ τοὺς Τούρκ
διέφθειρεν οὓς δὲ ἐζώ
στρατιᾶς προστάττοντο

2. ἐξέρυθρον A, τὰ κ
κῆς] εἰς τὴν ποντοηρά
τωσε τοὺς δὲ ἐδέσμει

Turcis vastabat. Theodorus
peratoris affinitate inclitus,
omnibus Orientalibus urbil
Comnenus exercitu ex Pa
Iberum qui ad Phasidem
subigebat; et ut fratrem s
sorem eius et praeconem
circa Trapezuntem moram
proverbium est, agens pe
cum autem David adolesce
pro duce ad Nicomediam mi

Καὶ τῇδε μὲν τὰ πρὸς ἕω ἐφέρετο· ὁ δὲ Μυσὸς Ἰωάννης τῇ Φιλιππουπόλει ἐπιστρατεύσας αἱρεῖ ταύτην καὶ καθαιρεῖ προνομεύσας, καὶ πολλοὺς τῶν ἔνδον ὑποδικάζει τοῖς ξίφεσι, καὶ πάλαι μὲν ἐνσκολιευόμενος τῇ πόλει καὶ τῇ ταύ-
της ἐφεδρεύων ἁλώσει, καὶ βαρυμηνιῶν τοῖς οἰκήτορσιν ὡς μηδ' ὅλως αὐτῷ ὑποκύπτουσι μηδ' ὡς βασιλεῖ προσέχουσιν ἀλλ' P. 405
ὡς αἱμάτων ἄνδρα ἐκτρεπομένοις, καὶ τότε δὲ πρὸς πλείονα θυμὸν ἐκκαυθεὶς ὑπὸ βαρβάρου φρονήματος οἷς τὸν Ἀσπιέτην Ἀλέξιον εἰσηκίσαντο, κἀκείνῳ μὲν ὡς ἀρχηγῷ ὑπέκειντο σφῶν,
αὐτὸν δ' ἐπιόντα μεθ' ὅπλων πολλαχῇ ἀπεκρούσαντο. ἦν δ' ἂν ἡ πόλις ἥδε κακῶν ἀθιγής, εἰ καθ' ἑαυτὴν διεξήγετο, τοῦτο μὲν ἠπίως προσφερομένη Λατίνοις, τοῦτο δὲ τὸν Μυσὸν Ἰωάννην οὐκ ἐκτρεπομένη παντάπασι. νῦν δ' ἑπομένη τῇ μητρὶ παῖς, ἐξ ὧν ἀκροσφαλὴς ἐκείνη γέγονε καὶ εὐάλω-
τος βασιλὶς οὖσα καὶ πασῶν ὑπερκειμένη πόλεων, ἐκ τούτων δὴ καὶ αὕτη χείροσι κακοῖς προσωμίλησε, καθ' ὅσον προνομαῖς ἐκδοθεῖσα καὶ μαχαίρας στόματι ἔτι καὶ προσκαθήρηται B
καὶ εἰς περιφανὲς ἐρείπιον κατηδάφισται, καθ' ἓν μόνον τοὺς ὀφθαλμοὺς διαχέον τῶν θεωμένων, τὸ ἐκ ποδῶν ἀνηρτῆσθαι
τὸν Ἀσπιέτην ἐπ' ἰθυτενοῦς σκόλοπος, διατετορημένον τοὺς ἐπισφυρίους τένοντας καὶ κάλως ἐπὶ τούτων δεξάμενον. τὰ δ' ἐπὶ τούτοις, οὐκ ἔλαθον τὸν Ἰωάννην οἱ τῷ Ἀσπιέτῃ σύμφρονες καὶ πρὸς ὕψος βασιλείας ἐκεῖνον κουφίσαντες,

3. *πολλοὺς τῶν τοπικῶν μετὰ σπάθης φονεύει. τὴν τοιαύτην γὰρ πόλιν καὶ πρὸ πολλοῦ ἀμυνόμενος ἦν* B.

tubae clangorem arrectis, impervestigatam reliquerunt. hunc alii Pegasum esse dicunt, sessorem Bellerophontem, alii Iesum Navis filium equo (quisquis ille sit) insidentem; idque ex habitu statuae constare, quod dextra ad currum solis et lunae extenta cursum eorum sistat et globum aeneum laevae manus vola teneat. proindè malleis equi calce revulsa humanam subtus imaginem reperiunt, quae maiori ex parte Bulgarum aliquem repraesentabat, clavo transfixam et plumbo undique cinctam, non autem Latinum referebat, quemadmodum iamdiu a multis ferebatur. ea imago fabro argentario conflanda data est a Latinis, haud sane prorsus ex timiditate, ut per eorum contemptum aliquis interpretari queat: sed quia omnia tentabant, omnia moliebantur, ne urbe quam occuparant excederent, ne huiusmodi quidem rumores, qui non sine causa ab omnibus celebrarentur sed verisimilem coniecturam haberent, negligendos putabant, nulla in re negligentes. (17) Quis enim nescit eos, quamcunque provinciam aut urbem invaserint, eam tanquam suam

ἐχόμενοι πρὸς οὐδὲν ἀποκναίουσι δυσχερές, ὡς οὐκέτ' ὄντων τῶν οἴκοι ἐπιλαθόμενοι; ἀπεναντίας τοῖς Ῥωμαίοις δρῶπες, οἳ τοῖς βουλομένοις καὶ τῶν ἐσχάτων ἐπενδυτῶν ὑπεξίστανται, καὶ τὸν χοῦν τῶν ποδῶν αὐτῶν, ἀφιστάμενοι τῶν πατρίδων, ἀσμένως ἀποτινάσσονται, οὐχ ὡς εὐαγγελικοὶ μαθηταὶ ἀλλ' ὡς ἀχρεῖοι καὶ ἀγεννέστατοι μαχηταί, καὶ γυναικῶν ἐς πόλεμον ἀτολμότεροι, καὶ πρὸς τὴν ὄψιν τῶν δυσμενῶν ἀτεχνῶς πάσχοντες ταῦτα δὴ τὰ Ὁμήρεια.

D τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ,
οὐδέ οἱ ἀτρέμας ἧσθαι ἐρητύετ' ἐν φρεσὶ θυμός,
ἀλλὰ μετοκλάζει καὶ ἐπ' ἀμφοτέρους πόδας ἵζει.
ἐν δέ τε οἱ κραδίῃ μέγα στέρνοισι πατάσσει
Κῆρας ὀϊομένῳ, πάταγος δέ τε γίνετ' ὀδόντων.

Θαυμάσαι δ' ἄν τις τοὺς ἄνδρας τούσδε περιεργασάμενος, εἰ μὴ ἑαυτοὺς προϊόντος τοῦ χρόνου δίχα πόνου διεξεργάσονται, οὕτω πρὸς τοὺς ἐναντίους ἀεὶ ἐνδιδόντες καὶ μαλακιζόμενοι, πρὸς δὲ τοὺς ὁμοφύλους ἀναιδεῖς καὶ θρασεῖς καὶ αὐθάδεις ὁρώμενοι, οἵ γε καὶ τοῖς ἐκ τῆς συγκλήτου βουλῆς ἡμῖν τὴν
P. 415 τῆς πόλεως ἐπιγραφόμενοι ἄλωσιν οὔτε τὸν τῆς δίκης δεδίασι παντέφορον ὀφθαλμόν, αὐτοὶ καταπροδόντες κἀκείνην δὴ καὶ ἡμᾶς, οὔτε πρὸς τὴν ὑπερβολὴν τοῦ ψεύδους αἰσχύνονται. τὸ δὲ καὶ δακρύων ἄξιον ὡς ἀνθρώπων ἀναλγήτων πά-

3. οἵ om A. 9. γάρ τε om A. 16. πρὸς μὲν τοὺς?

amplecti et mordicus tenere, nullis difficultatibus fatigatos, et rerum domesticarum velut nihil ad se attinentium oblitos? secus quam nostri, qui cuivis ipsa etiam interula cedunt, et patria relicta etiam pulverem pedum cupide excutiunt, non ut Evangelici discipuli, sed ut inutiles et degeneres omnino bellatores, et in pugna mulieribus timidiores, quibus ubi hostem aspexerint, Homericum illud accidit.

vertitur ignavi color, et tremor occupat artus.
mens stupet, inque pedes animus cadit, anxius horret.
palpitat et pectus, strident formidine dentes,
et necis indomitae tremebunda occurrit imago.

mirum profecto fuerit, si viros istos accuratius intuearis, ni progressu temporis ipsi sese citra laborem confecerint, cum hostibus perpetuo ita cedant effeminati, erga populares vero et cives suos adeo se inverecundos audaces et pertinaces praebeant, qui cum nobis patribus conscriptis urbis excidium ascribant, nec Vindictae cuncta perspicientis oculum reformidant, cum ipsi et urbem et nos prodiderint, neque tam insigni mendacio erubescunt. Jam illud hominum stupidorum sive delirium sive infortunium lacrimas postulat, quod non me-

ϑημια καὶ δυστύχημα, οὐ μόνον τὴν ἐπανάκλησιν αὐτῆς
ἀπεύχονται, ἀλλὰ καὶ βραδυτῆτα τῷ ϑεῷ ἐγκαλοῦσιν ὡς μὴ
πάλαι καὶ χειρόνως τὰ κατ' αὐτὴν καὶ ἡμᾶς διαϑεμένῳ, ἀλλ'
ἐς δεῦρο τὸν ὄλεϑρον ἀποτείναντι καὶ φειδοῖ καὶ φιλανϑρωπίᾳ
δικάσαντι. καὶ δέον τοῖς ἡμῶν αὐτῶν κακοῖς ἁρμόζεσϑαι πρὸς
συμπάϑειαν, οὐ πόλιν, οὐχ ἑστίαν, οὐ πορισμὸν τῶν πρὸς τὸ
ζῆν ἐχόντων, οὓς ἤδεσαν πάλαι περιωνύμους πλούτου βαϑύ-
τητι καὶ δυναστείας λαμπρότητι, οἱ δὲ ξεναγοῦσι σκώμμασι B
καὶ περιβάλλουσιν ὡς ἱμᾶσι τοῖς ὀνείδεσιν, οὐδ' ὅλως παρὰ
τὴν ἀρχὴν τοῦτο ἐλπίσαντας· ἢ γὰρ ἂν οὐδ' ἐπέβημεν ὅλως
τῆς ἑῴας γῆς, τὸν μετὰ τοιούτων ἀνϑρώπων ἀλεεινοντες πά-
τον καὶ κατὰ τὸν πάλαι Βελλεροφόντην πεδίον ζητοῦντες
ἀληῖον ἢ τὸν Ἱερεμίου ἔσχατον σταϑμόν. μενοῦν γε οὐδὲ δι'
ὄχλου τισὶ γεγόναμεν, πρὸς μόνον εὐελπιστοῦντες τὸν χορη-
γὸν τοῖς πᾶσι τροφῆς πατέρα ϑεόν, ὃς πρότερον μὲν δι' Ἐλισ-
σαιὲ παλάϑαις καὶ κριϑίνοις ἄρτοις βραχέσιν ἑκατὸν εἰστία-
σεν ἄνδρας, ὕστερον δ' αὐτὸς βραχυτέροις μυριάδας πει-
νώντων ἐδεξιώσατο καὶ τὰ τοῦ κόρου λείψανα πλείω τῶν
ἐδηδομένων συλλέξαι τοῖς συμποσιάρχαις μύσταις παρέσχετο,
ἐπὶ ϑαύματι ϑαῦμα τετελεκὼς ἐξαισίῳ ἐξαισιώτερον. ὅϑεν C
κατὰ μόνον τὸ σύννομον αὐτοῖς συμφερόμενοι, ἐξ ὅτου τὴν
παρ' Ἀσκανίᾳ λίμνην καὶ τὴν τῶν Βιϑυνῶν προεδρεύουσαν
Νίκαιαν παροικεῖν εἰλόμεϑα ὡς αἰχμάλωτοι, καὶ παρὰ τοῖς

13. ἀληῖον] ἠλύσιον pr A. 22. καὶ τὴν] καὶ τῆς τῶν βιϑυνῶν μητροπόλεως πρόεδρ. A.

do patriae restitutionem in integrum deprecantur, sed deum etiam tarditatis accusant, quod nos et eam non olim peius tractarit, sed clementi et humano iudicio exitium hactenus distulerit. iam cum vicem nostram dolere deberent, qui non urbem, non larem, non victum ullum habeamus, quos olim copia rerum celebres et splendore dignitatis illustres noverunt, dicteriis nos lacessunt et opprobriis tanquam verberibus caedunt, secus quam speravimus: alioqui nunquam Orientem attigissemus, etiam vestigia istorum hominum declinaturi, et ut olim Bellerophon, desertos campos quaesituri aut Hieremiae extremum terminum. nemini certe quidem molesti fuimus, nostra in deum liberalem omnis boni largitorem fiducia collocata, qui olim per Elisaeum paucis palathis ficuum et hordeaceis panibus centum viros pavit. post ipse paucioribus complura esurientium millia saturavit, et plus reliquiarum quam convivis ferculorum erat appositum, mystis symposiarchis colligendum dedit, uno miraculo alio maiore cumulato. unde alius loci commercio cum illis coniuncti, dum ad Ascanium lacum et Bithyniae metropolim Nicaeam tanquam

ΤΟΥ ΑΥΤΟΥ ΜΑΚΑΡΙΤΟΥ ΚΥΡΙΟΥ

ΝΙΚΗΤΑ ΤΟΥ ΧΩΝΕΙΑΤΟΥ

ΑΠΟ ΤΗΣ ΑΥΤΟΥ ΙΣΤΟΡΙΑΣ

ΠΕΡΙ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

1. Τῆς γὰρ ἡμετέρας βασιλείας ἄρτι διαπεττευθείσης εἰς τοὺς Φραγγίσκους, ὁμοίως καὶ τῆς ἀρχιερωσύνης κληρωθείσης τοῖς Βενετίκοις, οἷς ἐπίσταται κρίμασιν ὁ τοῦ κοσμικοῦ τοῦδε σκάφους σκευαστὴς καὶ κυβερνήτης κύριος, ἵκετο ἐκ Βενετίας πατριάρχης Κωνσταντινουπόλεως Θωμάσιός τις

5. γὰρ] δ' G. 6. κυρωθείσης G. convenerat ante captam urbem inter Francos et Venetos, ut ex altera gente imperator ex altera patriarcha eligeretur. itaque quum Balduinus Flandrensis ex Francorum gente imperium esset adeptus, patriarchale solium Venetorum arbitrio est subiectum. WILLERUS. 8. κύριος] θεὸς G. 9. Θωμᾶς G.

EX EIUSDEM VIRI BEATI

NICETAE CHONIATAE

HISTORIA CONSTANTINOPOLITANA.

1. Itaque postquam inexplicabili iudicio dei, qui navis mundanae opifex pariter est atque gubernator, imperium quidem nostrum sortitione facta Francis, sacerdotium vero Venetis contigit, arcessitus est Venetiis patriarcha, qui ecclesiam Cpolitanam regeret, Thomas quidam nomine, homo modicae quidam proceritatis, corpo-

τοὔνομα, τὴν μὲν ἡλικίαν μέσος, τὴν δὲ σωματικὴν πλάσιν λακκευτοῦ συὸς εὐτραφέστερος· ἦν δὲ καὶ λεῖος ξυρῷ τὸ τοῦ προσώπου ἔδαφος ὡς οἱ λοιποὶ τῶν ἐκ τοῦ γένους ἐκείνου, καὶ τὰς ἐνστηθίους παρατετιλμένος τρίχας ἀκριβέστερον δρώπακος, ἀμπεχόμενος δὲ στολὴν συννφασμένην μικροῦ τῷ δέρματι καὶ ῥαφιδουμένην ἑκάστης τὰ εἰς καρπούς, δακτύλιόν τε τῇ χειρὶ περιστρέφων, ἐνίοτε δὲ καὶ τὰ ἐκ δέρρεων εἰς δακτύλους διεσχισμένα τῶν χειρῶν φυλακτήρια περικείμενος. ὡρᾶτο δὲ καὶ τὸ περὶ αὐτὸν ὡσιωμένον θεῷ σύστημα καὶ τὴν θυωρὸν ἀμφιπονούμενον τράπεζαν τῆς αὐτῆς ἐχόμενον κεραμείας καὶ τῷ καθηγεμόνι πανείκελον τὰ εἰς στολὴν καὶ δίαιταν καὶ τὸν τοῦ πώγωνος θερισμόν.

2. Ἐκ πρώτης δέ, ὅ φασι, γραμμῆς τὸ ἐθνικὸν παραδεικνύντες φιλόχρυσον, ἐννοοῦσι πόρον λημματισμοῦ καινόν τε ἅμα καὶ λαθόντα ξύμπαντας οἳ τὴν βασιλίδα πόλιν ἐσκύλευσαν. τὰς γὰρ τῶν βασιλέων θήκας ἀνοίξαντες, ὁπόσαι ἔνεισι τῷ ἡρῴῳ τῷ περὶ τὸ μέγα τέμενος ἱδρυμένῳ τῶν τοῦ Χριστοῦ μαθητῶν, λωποδυτοῦσι νυκτὸς ἁπάσας, καὶ παναθεμίτως ἐγκολπίζονται εἴ τις χρύσεος κόσμος ἢ μαργάρων σφαίρωμα ἢ λίθος διαυγὴς καὶ πολύτιμος ἀδιάφθορος εἰσέτι ταύταις ἐνέκειτο. εὑρόντες δὲ καὶ τὸν νεκρὸν Ἰουστινιανοῦ τοῦ βασιλέως τοῖς μακρωίωσιν ἀπαραλύμαντον ἔτεσι, τὸ μὲν ὁρα-

2. τῶν προσώπων G. ἐκ om O. 12. καὶ δίαιταν add G. 16. ἁπόσων G.

ris vero obesitate porcum superans saginatum. faciem habebat idem tonsam novacula ex consuetudine, quae popularibus suis erat communis. atque pectoris etiam pilos evulsos diligentius quam dropacis ope fieri posset. amictus erat stola, quae cuti paene erat assuta atque circa carpos acubus quotidie affigebatur. annulum gestabat digito, manuum quoque tegumentis nonnunquam utebatur ex corio factis iisque digitatis. atque illud, cui praeerat, collegium deo dicatum et sacrosancti altaris ministerio deputatum, eiusdem prorsus erat farinae suoque antistiti omnino simile in vestitu vitaeque ratione et barbae tondendae more.

2. Ex prima, ut aiunt, linea auri amore insito sibi flagrantes, furandi viam excogitant novam plane neque ab illis, qui hactenus imperatoriam urbem expilaverant, unquam usurpatam. apertis enim imperatorum sepulcris positis in Heroo ad magnum discipulorum Christi templum exstructo, noctu omnia diripuerunt, ac nefario ausu, si quis istic aureus ornatus, si quae margaritarum sphaerae aut lapilli pretiosi pellucidi et incorrupti hactenus servabantur, ea omnia in sinum coniecerunt. repertum istic Iustiniani cadaver, quod a multis saeculis

θὴν ἐν θαύματι ἔθεντο, τῶν δὲ νεκροταφίων οὐμενοῦν οὐδ' ὅλως ἀπέσχοντο. ἔστιν οὖν εἰπεῖν ὡς οὔτε τῶν ἔτι ζώντων οὔτε μὴν τῶν ἀπελθόντων οἱ ἐκ γενῶν τῶν ἑσπερίων ἐφείσαντο, ἀλλ' ἐκ θεοῦ καὶ τῶν αὐτοῦ θεραπόντων ἀρξάμενοι πᾶσαν ἐπὶ πᾶσιν ἀδιαφορίαν τε καὶ ἀσέβειαν ἐπεδείξαντο. μετ' οὐ πολὺ δὲ κατασπῶσι καὶ τὸ τοῦ μεγίστου νεὼ κατα-πέτασμα εἰς μυρίας πολλάκις ἀργύρου μνᾶς ἀριθμούμενον, καὶ τούτου ὀβρυζοτέρου παντός, καὶ εἰς βάθος χρυσῷ πυκα-ζόμενον.

3. Ἐπεὶ δὲ χρημάτων καὶ οὕτως ἐσπάνιζον (οὐδὲ γὰρ φιλοπλουτίας κόρον ὁτεδὴ τὸ βάρβαρον ἴσησι, τοῖς χαλκοῖς ἐποφθαλμίζουσιν ἀνδριᾶσι, καὶ παραδιδόασι τούτους πυρί. ἥ τε οὖν ἐν τῇ Κωνσταντινείῳ ἀγορᾷ ἱσταμένη πολύχαλκος Ἥρα κέκοπται εἰς στατῆρας καὶ χωνείᾳ παραδέδοται, ἧς ἡ κεφαλὴ μόγις τέτρασι βοῶν ὑποτρόχοις ζεύγμασιν εἰς τὸ μέ-γα παλάτιον ἀποκεκόμισται· καὶ ἐπ' αὐτῇ ὁ Πάρις Ἀλέξαν-δρος τῆς βάσεως ἀνατέτραπται, συνεστὼς Ἀφροδίτῃ καὶ χει-ρίζων ταύτῃ τὸ χρύσεον μῆλον τῆς Ἔριδος.

4. Τὸ δέ γε τετράπλευρον χαλκοῦν μηχάνημα μετέωρον ἀναβαῖνον καὶ μικροῦ τοῖς τῶν κιόνων μείζοσιν εἰς ὕψος

8. τούτου ὀβρυζοτέρου Lachmannus pro illis codicum τοῦτο εὐροιζότερον vel εὐροϊζότερον. 14. παραδέδοται Wilkenus: codices παραδίδοται. 16. vide Heynium de priscae artis operibus, quae Cpoli extitisse memorantur, in Commentat. Soc. Reg. Scient. Gotting. a. 1791 et 1792, vol. XI, classis hist. et philol. p. 26. Wilk. 19. γε add G.

inviolatum permanserat, admirati quidem sunt, verum a sepulcralibus ornamentis minime abstinuerunt. ac vere dicatur Occidentales illos nec vivis nec defunctis pepercisse, sed a deo eiusque famulis orsos sine ullo discrimine nullum non impietatis genus exhibuisse. nec ita multo post Maximi templi velum discerpunt, quod multis milibus argenti eiusque purissimi minarum aestimatum fuerat, quippe cui multum auri intertextum erat.

3. Quia vero, haec quamvis fecissent, pecunia eti[illegible]num egebant (nihil enim unquam potest barbarorum avaritiam satiare), ad aeneas statuas animum adiecerunt ignique ipsas tradiderunt. Iuno itaque illa ingenti aeris pondere, quae in Constantiniano foro erecta erat, in frusta concisa in fornacem fundenda traditur, cuius caput vix quatuor boum iugis potuit in magnum Palatium asportari. insuper Paris Alexander ex basi sua deiectus est, qui Veneri adstans aureum ipsi Discordiae pomum manu porrigebat.

4. Illam vero quadratam machinam, quae in altum ita erat deducta ut proceritate cum altissimis quibusque columnis, quae per

ἀνθαμιλλώμενον, ὅσοι πολλαχῇ τῆς πόλεως ἀνεστήκασι, τίς οὐκ ἂν ὀφθαλμὸν ἐκείνῳ ἐπιβαλὼν τῆς ποικιλίας ἐθαύμασεν; ἅπας μουσικὸς ὄρνις τὰ ἐαρινὰ μελῳδῶν ἐκεῖ ἐντετύπωτο· γεηπόνων ἔργα καὶ αὐλοὶ καὶ γαυλοὶ καὶ προβάτων βληχήματα καὶ ἀρνῶν σκιρτήματα ἐξεικόνιστο· ὑφήπλωτο καὶ θαλάττιον πέλαγος, καὶ νεπόδων ἀγέλαι καθωρῶντο, οἱ μὲν ζωγρούμενοι, οἱ δὲ τὰ δίκτυα τυραννοῦντες καὶ κατὰ βυθοῦ πάλιν ἀνέτως φερόμενοι· οἱ δ' Ἔρωτες σύνδυο καὶ σύντρεις ἀλλήλοις ἀνθοπλιζόμενοι, γυμνοὶ περιβλημάτων, ἐβάλλοντο μήλοις καὶ ἔβαλλον, γλυκεῖ περιβρασσόμενοι γέλωτι. τοῦ δὲ τοιούτου τετραπλεύρου εἰς ὀξὺ σχῆμα κατὰ πυραμίδα τελευτῶντος ἀπηώρητο ἄνωθεν γυναικόμορφον εἴκασμα, καὶ ταῖς πρώταις τῶν ἀνέμων κινήσεσι περισοβούμενον· ὁπόθεν Ἀνεμοδούλιον ἐπεκέκλητο. πλὴν ἀλλὰ καὶ τοῦτο τὸ περικαλλέστατον ἔργον τοῖς χωνευταῖς παρέδωκαν, ὥσπερ καὶ τὸν ἐν τῷ Ταύρῳ ἐπὶ τραπεζώδους βάσεως ἔφιππον ἱστάμενον ἄνδρα τὸν ἡρωϊκὸν τὸ εἶδος καὶ τὸ μέγεθος ἀξιάγαστον. εἶναι δὲ οὗτος ἐλέγετο παρὰ μὲν ἐνίοις Ἰησοῦς ὁ τοῦ Ναυῆ, τεκμαιρομένοις τὸν ἄνδρα τῇ πρὸς ἥλιον ἐκτάσει τῆς χειρὸς ἤδη τῆς πρὸς δύσιν πορείας ἐχόμενον καὶ τὴν κατὰ Γαβαὼν

10. cf. supra p. 213. ceterum vide de hoc Anemodulio, monumento, quod urbi, quae navigatione et commercio maritimo florebat, summae erat utilitatis, Anon. de antiquitatibus Cpolit. in Banduri Imper. or. t. I. Parte 3 p. 17, Codinum de antiquitatibus Cp. ed. Par. p. 54, Lambecium ad h. l., Ducangii Cpol. Christ. ed Par. p. 166 et 167, et Heynium l. c. p. 32. Wiss.

urbem ubivis dispersae cernuntur, tantum non certaret, quis non admiraretur intuens eximiam operis inibi sculpti varietatem? ibi enim omnis canora avis vernos edens cantus repraesentabatur, similiterque agricolarum opera, tibiae et mulctralia, ovium balatus, agnorum subsultus. ibi ingens pelagus extendebatur pisciumque multitudo visebatur, quorum alii capiebantur, alii retibus sese vi expediebant et in imum mare denuo liberi ferebantur. alibi vero Cupidines bini vel terni adversi stantes ac nudi sese pomis impetebant, in risum suaviter effusi. in fastigio huius quadratae machinae Pyramidis more in acutum desinentis erecta cernebatur muliebris statua, quae primis ventorum impulsibus circumagebatur, unde Anemodulion (ventorum ministra) vocabatur. attamen hoc, inquam, opus pulcherrimum conflatoribus tradiderunt, quemadmodum et equitem illum in Tauro basi ad mensae formam structae impositum, heroica forma, magnitudine stupenda, quem quidam Iosuam filium Nuni esse dicebant, inde coniecturam facientes, quod vir ille, extensa contra solem ad occasum vergentem manu, praecipere videretur ut

ἁπάσιν οἱονεὶ ἐπιτάσσοντα, ὡς δὲ ἐδόκει τοῖς πλείοσιν, ὁ ἐν τῇ νήσῳ τοῦ Πέλοπος γεννηθεὶς καὶ τραφεὶς Βελλεροφόντης Πηγάσῳ ἐπικαθήμενος· ἦν γὰρ ὁ ἵππος ἀχάλινος, ὁποῖος ὁ Πήγασος παραδίδοται, ἄνετα κροαίνων κατὰ πεδίων καὶ πάντα ἀδοξῶν ἀναβάτην ὡς πτηνὸς ἅμα καὶ πεζὸς φερόμενος. ἀλλὰ καὶ φήμη παλαίφατος εἰς ἡμᾶς διαβαίνουσα τοῖς τῶν ἁπάντων ἐνέκειτο στόμασιν, ἐν τῇ ἐμπροσθίῳ τοῦ ἵππου τοῦδε λαιᾷ χηλῇ ἀνδρείκελον κεύθεσθαι, τισὶ μὲν ἐκ τοῦ τῶν Βενετίκων γένους τινὸς εἶναι παραδιδόμενον, ἄλλοις δ' ἑτέρου τῶν μὴ ἐνσπόνδων Ῥωμαίοις ἐπιζεφυρίων ἐθνῶν ἢ καὶ τῶν Βουλγάρων ἑνός. πολλάκις οὖν ἡ τῆς χηλῆς ἐπεποιήθη ἀσφάλισις εἰς τὸ πάντῃ ἀφώρατον ὧν ἤδετο κρύπτειν ἔνδοθι. κατατεμαχισθέντος δὲ τοῦ ἵππου καὶ σὺν τῷ ἀναβάτῃ παραδοθέντος πυρὶ εὕρηται καὶ τὸ ἐν τῇ ὁπλῇ τοῦ ἵππου ἐντυμβευόμενον χαλκῆρες ἴνδαλμα, καὶ ἦν περικείμενον χλαῖναν ὁποίαν τῶν θρεμμάτων τὰ ἔρια πλέκουσιν· ὀλίγα δὲ τῶν ἐπ' αὐτῷ πεφρασμένων οἱ Λατῖνοι φροντίσαντες πυρὶ καὶ τοῦτο ἐνέβαλον.

5. Ἀλλ' οὐδὲ τῶν ἐν τῷ ἱππικῷ ἱσταμένων ἀγαλμάτων

3. de Bellerophontis statua, quae Antiochiae urbis ornamentum fuerat, vide Banduri Commentarios de antiquitatibus Cpol. I p. 451 et Heynium l. c. p. 13. Wilk. 11. vetus erat superstitio, eiusmodi figuras barbarorum hominum, si in aliquo loco occultarentur, prodesse ad barbararum gentium incursiones ab imperio Romano arcendas; cuius quidem superstitionis exemplum legitur apud Olympiodorum in Photii Bibliotheca (ed. Bekker.) p. 60 et Niebuhrii corp. hist. Byzant. p. I p. 459 et 460. Wilk. 12. ἔνδοθεν O. 17. πεφασμένων O.

ad Gabaon staret; plerique vero putabant esse Bellerophontem in Peloponneso educatum et Pegaso insidentem. nam equus ille, quemadmodum et Pegasus fuisse traditur, cum nullis coërcitus frenis per campos effuse curreret, sessorem, utpote qui alis ferretur pariter et pedibus, aspernabatur. imo etiam quaedam vetus fama ad nos usque delata in omnium ore versabatur, in huius equi ungula sinistra pedum anteriorum viri figuram occultari, quam alii esse cuiusdam ex gente Veneta, alii alicuius ex Occidentalibus populis Romanorum non foederatis aut ex Bulgaris esse dicebant. non semel igitur ungula firmius defixa fuit, ne unquam, quae intus abscondi ferebantur, subripi possent; equo autem et equite in minutas partes dissectis atque in ignem coniectis repertum est signum aeneum in ungula equi sepultum, indutum chlaena, qualis ex ovium vellere solet confici. cum autem Latini parum curarent ea quae huic signo inscripta portendebantur, et ipsum in ignem coniecerunt.

5. Verum neque alias in Hippodromo statuas ceteraque ad-

καὶ ἀλλοίων θαυμαστῶν ἔργων τὴν καταστροφὴν παρῆκαν ἀπὸ τοῦ καλοῦ ἀνέραστοι οὗτοι βάρβαροι, ἀλλὰ καὶ ταῦτα κεκόφασιν εἰς νόμισμα, ἀνταλλασσόμενοι μικρῶν τὰ μεγάλα καὶ τὰ δαπάναις πονηθέντα μεγίσταις οὐτιδανῶν ἀντιδιδόντες κερμάτων. κατήρειπτο τοίνυν Ἡρακλῆς ὁ τριέσπερος μέγας μεγαλωστὶ κοφίνῳ ἐνιδρυμένος, τῆς λεοντῆς ὑπεστρωμένης ἄνωθεν, δεινὸν ὁρώσης κἂν τῷ χαλκῷ καὶ μικροῦ βρυχηθμὸν ἀφιείσης καὶ διαθροούσης τὸ ἐφιστάμενον ἐκεῖσε τοῦ πλήθους ἀπάλαμνον. ἐκάθητο δὲ μὴ γωρυτὸν ἐξημμένος, μὴ τόξον ταῖν χεροῖν φέρων, μὴ τὸ ῥόπαλον προβαλλόμενος, ἀλλὰ τὴν μὲν δεξιὰν βάσιν ἐκτείνων ὥσπερ καὶ τὴν αὐτὴν χεῖρα εἰς ὅσον ἔξῃν, τὸν δὲ εὐώνυμον πόδα κάμπτων εἰς τὸ γόνυ καὶ τὴν λαιὰν χεῖρα ἐπ' ἀγκῶνος ἐρείδων, εἶτα τὸ λοιπὸν τῆς χειρὸς ἀνατείνων, καὶ τῷ πλατεῖ ταύτης ἀθυμίας πλήρης καθυποκλίνων ἠρέμα τὴν κεφαλήν, καὶ τὰς ἰδίας οὕτω τύχας ἀποκλαιόμενος καὶ δυσχεραίνων τοῖς ἄθλοις, ὅσους αὐτῷ Εὐρυσθεὺς οὐ κατὰ χρείαν κατὰ δὲ φθόνον μᾶλλον ἠγωνοθέτει, τῷ τῆς τύχης περιόντι φυσώμενος. ἦν δὲ τὸ στέρ-

5. τριέσπερος] huius epitheti origo ad Lycophronem (33) explicatur a Tzetze. Wilk. 6. vide quae de hoc κοφίνῳ doctissime disputata sunt a C. G. Boettigero in Historiae bellorum cruciatorum sermone patrio a me editae tomo V (Beilagen p. 32. 33). peritissimus rerum antiquarum arbiter, iudicat, corbe, cui impositum fuisse Herculem post labores peractos requiescentem dicit Nicetas, repraesentari illum corbem, quo heroem ad purganda Augiae stabula usum esse nonnulli veteres poetae fabulantur. ceterum haud scio an Nicetas, qui insolita verba sectari solet, suo κοφίνῳ nihil aliud significare voluerit quam quod simplicius dicere potuisset βάσιν. fortasse illa basis rotunda et corbis formae quodammodo similis erat. Wilk.

mirabilia opera evertere neglexerunt barbari illi, rerum optimarum hostes, sed illa quoque concisa in numismata verterunt, magna parvis commutantes, ac quae ingenti sumptu confecta fuerant, vilissimae monetae postponentes. deiectus itaque est Hercules Trihesperus magnus ille magnifice fabrefactus, in corbe erectus, cui superne leonina pellis instrata erat cum capite vel in ipso aere torvum aspiciente ac prope rugitum emittente multitudinemque, quae forte illic staret, otiosam dispellente. sedebat autem non pharetram gestans, non arcum manibus tenens, non clava munitus; sed dextrum pedem et dextram manum, quantum poterat, extendens, laevo pede ad genu usque curvato et sinistra manu cubito suffulta, quam superius extendens maerore plenus caput in ipsius volam leniter reclinabat, fata fortunasque suas deplorans, aegreque ferens labores, quibus illum Eurystheus, non ex necessitate sed ex invidia magis, fortuna sua inflatus

νον εὑρύς, τοὺς ὤμους πλατύς, τὴν τρίχα οὖλος, τὰς πυγὰς πίων, βριαρὸς τοὺς βραχίονας, καὶ εἰς τόσον προέχων μέγεθος εἰς ὅσον, οἶμαι, καὶ τὸν ἀρχέτυπον Ἡρακλῆν εἰκασεν ἂν ἀναδραμεῖν ὁ Λυσίμαχος ὁ πρῶτον ἅμα καὶ ὕστατον τῶν ἑαυτοῦ χειρῶν πανάριστον φιλοτέχνημα τουτονὶ χαλκουργήσας, καὶ οὕτω μέγιστον ὡς τὴν περιελοῦσαν τὸν αὐτοῦ ἀντίχειρα μήρινθον εἰς ἀνδρεῖον ζωστῆρα ἐκτείνεσθαι καὶ τὴν κνήμην τοῦ ποδὸς εἰς ἀνδρόμηκες. τοιοῦτον δ' ὄντα τὸν Ἡρακλῆν οὐ παρῆλθον ἀκαθαίρετον οἱ τὴν ἀνδρείαν τῶν συννόμων ἀρετῶν διιστῶντες καὶ ταύτην ἑαυτοῖς οἰκειοῦντες καὶ περὶ πλείστου τιθέμενοι.

6. Τούτῳ δὲ συγκαθεῖλον καὶ τὸν σεσαγμένον καὶ σὺν ὀγκηθμῷ στελλόμενον ὄνον καὶ τὸν τούτῳ ἑφεπόμενον ὀνηγόν, οὓς ἐν Ἀκτίῳ ἔστησε Καῖσαρ ὁ Αὔγουστος, ὃ ἐστιν ἡ καθ' Ἑλλάδα Νικόπολις, ἡνίκα νυκτὸς ἐξιὼν τὸ τοῦ Ἀντωνίου κατασκέψασθαι στράτευμα ἀνδρὶ ἐνέτυχεν ὄνον ἐλαύνοντι, καὶ πυθόμενος ὅστις εἴη καὶ ἔνθα πορεύεται ἤκουσεν ὡς καλοῦμαι Νίκων καὶ ὁ ἐμὸς ὄνος Νίκανδρος, ἀφικνοῦμαι δὲ πρὸς τὴν τοῦ Καίσαρος στρατιάν.

7. Οὐδὲ μὴν τῆς ὑαίνης τε καὶ λυκαίνης τὰς χεῖρας ἀπήγαγον, ἃς Ῥῶμος καὶ Ῥωμύλος ἐθήλασαν· στατήρων

4. *ἂν* tollendum. *Λύσιππος* Fabricius. eodem modo Nicetam memoria fefellit p. 335. de ipso monumento vide Lambec. ad Codinum p. 167, Sillig. Catalog. artificum p. 259 et 260. Wilk. 15. de fabula vid. Sueton. Aug. 96. Wilk. 21. *ᾠήμος* O.

subiecerat. erat autem amplo pectore, latis humeris, crispo capillo, pinguibus clunibus, robustis brachiis et tanta magnitudine quanta, ut arbitror, esse archetypum Herculem coniecit Lysimachus (Lysippus), qui hoc primum et postremum manuum suarum opus ex aere caelavit. tanta sane proceritate erat, ut funiculus pollicem eius ambiens iustum hominis cingulum efficeret, tibia hominis staturam aequaret. Herculem huiusmodi nequaquam intactum reliquerunt illi, qui fortitudinem a reliquis virtutibus segregant eamque sibi adscribunt et plurimi faciunt.

6. Cum illo etiam abstulerunt asinum onus portantem et cum ruditu incedentem nec non insequentem asinarium, quos Actii, quod Graeci Nicopolin vocant, Augustus Caesar erexerat, quando noctu egressus speculatum Antonii exercitum, hominem offendit asinum ducentem, sciscitantique quis esset et quo pergeret, respondit ille „Nicon vocor, et asinus meus Nicander; et ad exercitum Caesaris contendo."

7. Nec magis abstinuerunt a scrofa et a lupa quae Remum et Romulum lactaverunt; sed minutissimae monetae aereae causa, an-

δὲ βραχέων, καὶ τούτων χαλκῶν, τὰ παλαιὰ σεμνώματα τοῦ γένους ἀπέδωκαν καὶ καθῆκαν αὐτὰς εἰς τὸ χωνευτήριον· ἔτι γε μὴν καὶ τὸν ἄνδρα τὸν παλαίοντα λέοντι, καὶ τὸν ἵππον τὸν Νειλῷον, ἐς οὐραῖον ἡκανθωμένον λεπίσι τὰ ὄπισθεν τοῦ σώματος λήγοντα, καὶ τὸν σείοντα τὴν προνομαίαν ἐλέφαντα· τὰς Σφίγγας ἐπὶ τούτοις, τὰς εὐειδεῖς ὡς γυναῖκας τὰ ἔμπροσθεν καὶ φρικτὰς ὡς θηρία τὰ ὄπισθεν, καινοτέρας δὲ ὡς καὶ πεζῇ βαινούσας καὶ κούφως τῷ πτερῷ φερομένας καὶ διαμιλλωμένας τοῖς τῶν ὀρνίθων μεγαλοπτέρυξι· καὶ τὸν ἀχάλινον ἵππον ὀρθιάζοντα τὸ οὖς καὶ φριμάσσοντα, γαῦρόν τε καὶ εὐήνιον προποδίζοντα· καὶ τὸ ἀρχαῖον κακόν, τὴν Σκύλλαν, μέχρι μὲν ἰξύος γυναικεῖον εἶδος προφέρουσαν, καὶ τοῦτο προτενὲς καὶ ὑπερμαζῶν καὶ μεστὸν ἀγριότητος, τὰ δ' ἔκτοτε διεσχισμένον εἰς θῆρας ἐμπηδῶντας τῇ τοῦ Ὀδυσσέως νηῒ καὶ συχνοὺς τῶν ἑταίρων καταβροχθίζοντας.

8. Ἦν δ' ἐν τῷ ἱππικῷ καὶ χάλκεος ἀετὸς ἀνακείμενος, τοῦ ἐκ Τυάνων Ἀπολλωνίου καινὸν μεθόδευμα καὶ τῆς ἐκείνου γοητείας μεγαλοπρεπὲς μαγγάνευμα. παραβαλὼν γάρ ποτε Βυζαντίοις παρεκλήθη τὰ τῶν ὄφεων κατευνάσαι δήγματα, ὑφ' ὧν ἔπασχον ἐκεῖνοι κακῶς· ἀμέλει καὶ συνερίθοις ταῖς ἀρρητουργίαις χρησάμενος ὧν ὑφηγηταὶ δαίμονες καὶ ὅσοι τὰ τούτων πρεσβεύουσιν ὄργια, ἐπὶ στήλης ἀνίστη-

1. σεμνώτατα O.

tiqua illa generis sui venerabilissima monumenta in officinam aerariam detulerunt. insuperque virum cum leone pugnantem, et Niliacum equum, qui a posterioribus partibus in caudam squamis opertam desinebat, elephantem, qui proboscidem vibrabat, Sphingesque, quae ab anteriori parte speciosae ut mulieres erant, a posteriore quasi ferae horribiles; singularis vero formae erant, quia quasi pedibus incedentes levi alarum motu ferebantur et cum avium maximis concertabant. itemque infrenatum equum aures arrigentem ac frementem lasciveque atque hilariter subsultantem. ad haec antiquum illud malum, Scyllam, quae a lumbis quidem femineam formam praeferebat, illamque proceram et vegetam, sed feritate plenam: exinde vero divisa erat in feras Ulyssis navem insilientes et amicorum eius multos devorantes.

8. Erat porro in Hippodromo Aquila aenea reposita, Apollonii Tyanei novum inventum eiusque praestigiarum nobile instrumentum. nam cum aliquando Byzantium venisset, rogatus est ut serpentium morsus sopiret, a quibus Byzantii vexabantur. tum ille nefariis usus ministeriis, quorum magistri daemones et quotquot eorum orgia per-

αιν ἀετόν, ἡδονὴν ἐνστάζον ψυχαῖς ὅραμα καὶ πεῖθον χρονοτριβεῖν τοὺς αὐτοῦ θέας κατατρυφῶντας, ὡς τοὺς ὑπέχοντας ἀκοὴν τὰ τῶν Σειρήνων δυσπαρόδευτα μελῳδήματα. διήρκει μὲν γὰρ ὡς εἰς πτῆσιν τὰς πτέρυγας, ὄφις δὲ τοῖς ποσὶν ὑποκείμενος καὶ λορδούμενος εἰς ὀλκοὺς ἀπεῖργεν αὐτὸν τῆς ἀναφορᾶς, οἷα τοῖς ἄκροις τοῦ σώματος ὡς πρὸς δῆγμα ἐγχρίπτων ταῖς πτέρυξιν. ἤννε δὲ ὁ ἰοβόλος οὐδέν· ταῖς γὰρ τῶν ὀνύχων ἐμπερονηθεὶς ἀκωκαῖς ἔσβεστο τὴν ὁρμὴν καὶ ὑπνώττειν μᾶλλον ἐδόκει ἢ γοῦν πρὸς καταπάλαισιν τοῦ ὄρνιθος ταῖς ἐκείνου προσφύεσθαι πτέρυξι. καὶ ὁ μὲν ὄφις οὕτω πνέων τὰ λοίσθια καὶ τὸν ἰὸν εἶχεν ἑαυτῷ συνθνήσκοντα· ὁ δ' ἀετὸς γαῦρον ὁρῶν καὶ μονονουχὶ κλάζων τὰ ἐπινίκια ὥρμα συνεξᾶραι τὸν ὄφιν καὶ ἅμα οἱ δι' ἀέρος φέρεσθαι, τεκμαίρεσθαι τοῦτο διδοὺς τῷ χαροπῷ τοῦ βλέμματος καὶ τῇ νεκρώσει τοῦ ὄφεως, ὃν εἰπέ τις ἂν ἰδὼν ἐπιλελησμένον τῶν ἑλίξεων καὶ τοῦ δάκνειν εἰς ὄλεθρον καὶ τοὺς λοιποὺς Βυζαντίους ὄφεις τῷ καθ' αὑτὸν διασοβεῖν ὑποδείγματι καὶ πείθειν ταῖς χειαῖς συσπειρᾶσθαι καὶ παραβύεσθαι. οὐ μόνον δὲ καθ' ὅσα εἰρήκαμεν, ἀξιώγαστον ἦν τοῦτο τὸ ἀέτειον εἴκασμα, ἀλλ' ὅτι καὶ τὰ τῆς ἡμέρας ὡριαῖα τμήματα διὰ τῶν ἐν ταῖς πτέρυξι κεχαραγμένων γραμμῶν, οὐσῶν δυοκαίδεκα, τρανότατα ὑπεδήλου τοῖς τὰς ὄψεις ἐκείνῳ σὺν

2. τοὺς αὐτ.] τῆς? 12. κλώζων vulgo. 18. codices χρείας (vel χείραις) συμπειρᾶσθαι.

agunt, aquilam columnae imponit, spectaculum animis illecebras instillans, suadensque ut diutius tali conspectu fruantur, quemadmodum ii qui Sirenum cantus audiebant, difficile loco movebantur. et alas quidem quasi ad volatum explicuerat: at serpens pedibus subiectus sinuosisque flexibus obvolutus a volatu coërcebat illam, suprema corporis parte quasi ad mordendas alas erecta. verum nihil efficiebat venenatum animal: nam unguibus constrictum ab impetu coërcebatur, ac dormitare potius videbatur quam cum ave pugnare et ad alas eius pertingere. atque ita serpens tetrum spirans, suum una secum extinctum venenum continebat, cum interim aquila laeto aspectu, tantum non clangens pro victoria, quasi avolare et serpentem secum auferre tentabat; id quod ex aspectus hilaritate ac serpentis nece coniectandum relinquebat. quem serpentem qui vidisset, dixisset sane illum convolutionum ac letiferorum morsuum oblitum reliquos serpentes Byzantinos exemplo suo absterrere, ac monere ut conarentur sese in fissuras abdere. non solum autem ob ea quae diximus admiratione digna erat illa aquilae figura, sed etiam quia diurnas horas lineis duodecim in alis eius incisis clarissime indicabat iis

λόγῳ προσβάλλουσιν, ἡνίκα μὴ νεφέλαις ἐγνοφοῦτο τὰς ἀκτῖνας ὁ ἥλιος.

9. Τί δὲ ἡ λευκώλενος Ἑλένη καλλίσφυρός τε καὶ δολιχόδειρος, ἡ τὸ Πανελλήνιον εἰς Τροίαν ἀθροίσασα καὶ κατελοῦσα Τροίαν, ἐκ δὲ ταύτης προσωκείλασα Νείλῳ κἀκεῖθεν αὖθις εἰς ἦθη τὰ Λακώνων ἐπαναλύσασα χρόνιος; ἆρ' ἐμείλιξε τοὺς δυσμειλίκτους; ἆρ' ἐμάλθαξε τοὺς σιδηρόφρονας; οὐμενοῦν οὐδ' ὅλως τοιοῦτόν τι δεδύνηται ἡ πάντα θεατὴν τῷ κάλλει δουλαγωγήσασα, καίπερ ἐστολισμένη θεατρικῶς, καὶ δροσώδης ὁρωμένη κἂν τῷ χαλκῷ, καὶ ὑγραινομένη πρὸς ἔρωτα τῷ χιτῶνι, τῷ κρηδέμνῳ, τῇ στεφάνῃ καὶ τῷ πλοχμῷ τῶν τριχῶν· ὁ μὲν γὰρ ἀραχνίων λεπτότερος ἦν, τὸ δὲ δαιδάλεον ἐπανέκειτο, ἡ δὲ διέδει τὸ μέτωπον χρυσοῦ καὶ τιμαλφῶν λίθων ὑποκρινομένη διαύγειαν, ὁ δὲ τὸ τῆς κόμης κεχυμένον καὶ διασοβούμενον πνεύμασιν ὀπισθίῳ δεσμεύματι περιέσφιγγεν ἕως κνημῶν ἐκτεινόμενον. ἦν δὲ καὶ τὰ χείλη καλύκων δίκην ἠρέμα παρανοιγόμενα, ὡς καὶ δοκεῖν ἀφιέναι φωνήν· τὸ δὲ χάριεν μειδίαμα εὐθέως προσυπαντῶν καὶ χαρμονῆς πιμπλῶν τὸν θεώμενον, καὶ τὸ τοῦ βλέματος χαροπὸν καὶ τὰς ἀψῖδας τῶν ὀφρύων καὶ τὴν λοιπὴν εὐφυΐαν τοῦ σώματος οὐκ ἦν ὁποῖα ἦν διαγράψαι λόγῳ καὶ παραστῆσαι τοῖς ἔπειτα. ἀλλ' ὦ Τυνδαρὶς Ἑλένη, κάλλος αὐτόθεν καλόν, Ἐρώτων μόσχευμα, Ἀφροδίτης τημελούχημα, πανάριστον φύσεως δώρημα, Τρώων καὶ Ἑλλήνων βρά-

qui eius rei periti accederent, quando solis radii nubibus non obscurabantur.

9. Quid de Helena illa dicam albis lacertis, pulchris tibiis et procera statura, quae totam Graeciam in Troiam concivit Troiaeque excidii causa fuit, inde vero ad Nilum appulit, ac post longum tempus Lacedaemonem remigravit? num barbaros illos mitigavit? num ferreos emollivit? nihil sane huiusmodi efficere potuit, quae olim omnes spectatores captivos ducebat, etiamsi theatrico more vestita et tota roscida videretur, ac licet aere incisa tota humesceret ac vernaret et ad sui amorem pelliceret, ex tunica, ex redimiculo, ex corona, ex cincinnis capillorum, qui ipsis araneae filis tenuiores erant. mirum sane undique artificium eminebat: frons eius redimita auro et gemmis, quasi pellucida videbatur; capillitium effusum ac ventis agitatum circulo in occipite posito constringebatur, hinc vero ad tibias usque diffluebat. labia calycum instar sensim aperta, ut viderentur vocem emittere: hinc suavissimus risus sese statim offerens spectatorem laetitia replebat. oculorum gratiam, superciliorum arcus reliquamque corporis venustatem nullus sermo pro merito de-

βευμα, ποῦ σοι τὸ νηπενθὲς καὶ κακῶν ἁπάντων ἐπίληθες φάρμακον, ὃ Θωνός σοι παράκοιτις ἐχαρίσατο; ποῦ δὲ τὰ ἄμαχα φίλτρα; πῶς οὐκ ἐχρήσω τούτοις ὡς πάλαι καὶ νῦν; ἀλλ' οἶμαί σοι ταῖς Μοίραις πέπρωται τῇ τοῦ πυρὸς ὑποπεσεῖν ἐρωῇ, μηδ' ἐν εἰκόνι παυσαμένην ἀνακαίειν τοὺς ὁρῶντας εἰς ἔρωτας. εἶπον δ' ἂν ὡς καὶ ἀντίποινα τοῦ τὴν Τροίαν ᾐθαλῶσθαι πυρὶ ταῖς σαῖς σχετλίως φρυκτευθέντι φιλύτησιν οἱ Αἰνειάδαι οὗτοι πυρί σε κατέκριναν. ἀλλ' οὐκ ἐᾷ με τὸ χρυσομανὲς τῶν ἀνδρῶν διανοήσασθαί τι τοιοῦτον καὶ φθέγξασθαι, ὑφ' οὗ τὰ σπάνια πανταχοῦ καὶ καλῶν κάλλιστα ἔργα παντελεῖ ἀφανισμῷ παρεπέμφθησαν, εἰπεῖν δὲ καὶ τὸ τὰς ἑαυτῶν γυναῖκας ὀβολῶν μετρίων πολλάκις ἀποδιδόναι καὶ ἀποπέμπεσθαι, καὶ μᾶλλον εἰ προσανέχουσι τηλίᾳ καὶ προστετήκασι πεττοῖς πανημέριοι, ἢ καὶ πρὸς ὁρμὴν ἄλογον καὶ μανιώδη, οὐ μὴν ἀνδρείαν ἔμφρονα κατ' ἀλλήλων ἐνθουσιῶσι καὶ τὴν Ἄρεος σκευὴν περιτίθενται, τῆς νίκης προτιθέντες ἆθλον πάντα τὰ προσόντα σφίσιν, αὐτὰς τὰς κουριδίους ἀλόχους, ἐξ ὧν πατέρες ἠκηκόεισαν τέκνων, ἔτι δὲ τὸ μέγα χρῆμα καὶ τοῖς ἄλλοις δυσπαραίτητον, τὴν ψυχήν, καὶ ἧς ἕνεκα τὰ πάντα περισπουδάζουσιν ἄνθρωποι. ἄλλως τε ποῦ παρ' ἀγραμμάτοις βαρβάροις καὶ τέλεον ἀναλφαβήτοις

8. σε add Fabricius. 13. τῇ λείᾳ vulgo.

pingat et posteris tradat. verum o Tyndaris Helena, ipsa per se pulchritudo, Cupidinum areola, Veneris sollicitudo, praestantissimum naturae donum, Troianorum et Graecorum bravium: ubi tuum illud remedium luctus atque malorum omnium oblivionem inducens, quod tibi a Thonia uxore oblatum est? ubi invictae illae illecebrae tuae? cur non illis usa es ut olim utebaris? sed puto tibi fatis destinatum esse ut in potestatem ignis venires, quae vel in imagine tua spectatores inflammare non cessabas. dixerim Aeneadas istos in ultionem Troiae, ob amores tuos incendio datae, te vicissim igni damnasse. at id nec dicere nec cogitare sinit hominum insana auri cupiditas; qua rara quaecunque ac pulcherrima omnium opera in exitium undique deducta sunt: illud quoque dicendum, ipsos uxores plerumque suas paucorum obolorum pretio vendere et dimittere, praedaque maxime inhiare, diesque lusu talorum transigere, ac insano furiosoque impetu, non prudenti fortitudine in mutuum bellum ferri. ita bellico Martis apparatu instruuntur, ut victoriae praemium ponant bona propria, legitimas uxores, ex quibus filios susceperunt. insuperque rem magnam, et quam alii aegre dimittunt, animam; cuius conservandae causa nullam non sollicitudinem gerunt homines. caeterum qua tandem ratione fieri potest ut barbaris litterarum imperitis, quibus ipsae litterarum formae prorsus incognitae sunt,

ἀνάγνωσις καὶ γνῶσις τῶν ἐπὶ σοὶ ῥαψῳδηθέντων ἐκείνων ἐπῶν; „οὐ νέμεσις Τρῶας καὶ ἐϋκνήμιδας Ἀχαιοὺς τοιῇδ' ἀμφὶ γυναικὶ ἄλγεα πάσχειν· αἰνῶς ἀθανάτῃσι θεαῖς εἰς ὦπα ἔοικεν."

10. Δοτέον μοι ἐκεῖνο τῷ λόγῳ. ἀνέκειτο ἐπὶ στήλης νεοειδὲς τὴν ὄψιν γύναιον, αὐτὸ τῆς ἡλικίας ἄγον τὸ χαριέστατον, εἰς τοὐπίσω τὴν κόμην ἀναδούμενον ἐπ' ἀμφότερα τοῦ μετώπου συνεστραμμένην, οὐχ ὑπεραιωρούμενον ἀλλ' ὡς ἁπτὸν εἴη τοῖς ἐς αὐτὸ τὰς χεῖρας ἐκτείνουσι. τούτου δὴ τοῦ μορφάσματος ἡ δεξιὰ χείρ, μηδενὸς ὑπόντος ἐρείσματος, ἄνδρα ἔφιππον ἀφ' ἑνὸς ἱππείου ποδὸς ἐπὶ παλάμας ἀνεῖχεν ὡς οὐδὲ σκύφον κεράσματος ἕτερος. ἦν δ' ὁ μὲν ἀναβάτης σφριγῶν τὸ σῶμα, φραττόμενος θώρακι, κνημῖσι τὼ πόδε περιστελλόμενος, πνέων ἀτεχνῶς πόλεμον· ὁ δὲ ἵππος ἀνίστη τὸ οὖς ὡς πρὸς σάλπιγγα, ὑψηλὸς τὸν αὐχένα, τὰς ὄψεις δριμὺς καὶ τὸν ἐκ τοῦ θυμοῦ δρόμον προφαίνων τοῖς ὀφθαλμοῖς· οἱ δὲ πόδες ἀνεφέροντο ἀέριοι τὸ πολεμικὸν ἐπιδεικνύντες σάλευμα.

11. Μετὰ δὲ τὸ εἴκασμα τουτὶ ἄγχιστα τοῦ τῶν τρώρων ἐῴου καμπτῆρος, ὃς ἐπεκέκλητο τοῦ Ῥουσίου, ἁρ-

5. fortasse haec statua, qua Heynius l. c. p. 28. 29 fortunam urbis repraesentatam esse iudicat, ipsam certaminum, quae in hippodromo fierent, fortunam indicabat. 10. μορφώματος O. 13. θώρακι Wilkenus pro σώματι. 20. loquitur Nicetas de Taraxippo, qui teste Pausania VI 20 in stadio quoque Nemaeo lapis erat rubri coloris (πέτρα ὑπὲρ τῶν ἵππων τὴν καμπὴν ἀνεστηκυῖα χρόαν πυρρά). cf. Aloysii Hirt histor. Architecturae III p. 146.

innotescant haec carmina in tui honorem concinnata? non erat indignum certe, tot funera Troas, tot mala pro tali Danaos tolerasse puella coelicolis simili, formae splendore, deabus.

10. Addatur et illud. columnae insidebat iuvenili specie mulier, ipsum amoenissimum aetatis florem referens, cuius coma retro colligata, ex utraque frontis parte contracta: neque adeo sublimis erigebatur, sed ita ut posset extensa manu facile tangi. huius porro statuae dextra manus, nullo fulcro sustentata, equitem ab uno equi pede palma sustinebat, tanta facilitate quanta ne scyphum quidem alius tolleret. erat autem sessor robustus corpore, tectus lorica, tibiisque ocreatus, bellum plane spirans. equus vero aures arrigebat quasi ad tubae clangorem, alto collo, acri oculorum acie, atque oculis prodens iram ardoremque procurrendi; pedes sublimes in aëre ferebantur bellicum motum indicantes.

11. Post illam statuam proxime Orientalem quadrigarum metam, quae Rusii (i. e. rubri) nomine appellabatur, aurigarum sta-

ματηλάται ἄνδρες ἀνεστήλωντο, τῆς διφρευτικῆς προγράμματα δεξιότητος, μονονουχὶ διαπρυσίως τῇ διαθέσει τῶν χειρῶν τοῖς διφρηλάταις παρεγγυώμενοι ὡς χρὴ προσπελῶντας τῇ νύσσῃ μὴ ἐφεῖναι τὰ χαλινὰ ἀλλ' ἐγκλίνειν ἀνασειρασμῷ τοὺς ἵππους καὶ συνεχεῖ καὶ σφοδροτέρῳ χρῆσθαι τῷ μύωπι, ὅπως περικλώμενοι τῆς νύσσης ἐχόμενα ἐῶσι τὸν συντρέχοντα ἀντίτεχνον τὴν ἐκ περιόδου ἐλᾶν καὶ ὕστατον ἔρχεσθαι, κἂν ἵππους δρομικωτέρους ἡνιοχῇ καὶ τὴν ἀμιλλητήριον τέχνην ὁρῷτο εὐπαίδευτος.

12. Ὁ δὲ λόγος καὶ ἄλλο τι προσθήσει τοῖς εἰρημένοις· οὐδὲ γὰρ συγγράψασθαι τὰ πάντα προύθετο. χάριεν τὴν θέαν καὶ τὴν τέχνην μικροῦ τῶν πάντων θαυμασιώτερον βάσις ἦν λιθίνη καὶ ἐπ' αὐτῆς χαλκήλατον ζῷον, παρὰ τοσοῦτον οὐκ ἀναμφήριστον βοῦν εἰκονίζον παρ' ὅσον βραχύκερκον ἦν μηδὲ βαθεῖαν καθεικὸς φάρυγγα, οἵαν οἱ Αἰγύπτιοι βόες τρέφουσι, μήτε μὴν χηλαῖς ὁπλιζόμενον. συνεῖχε δὲ τοῦτο ταῖς γένυσι καὶ εἰς πνῖγμα συνέθλιβε ζῷον ἕτερον, δι' ὅλου τοῦ σώματος λεπίσι θωρακιζόμενον οὕτω τραχείαις ὡς καὶ ἐν χαλκῷ λυπεῖν τὸν ἁπτόμενον. ἦδετο δὲ τὸ μὲν βασιλίσκον εἶναι τὸ δὲ ἀσπίδα, τὸ συμμαρπτόμενον τούτου τῷ στόματι· οὐκ ὀλίγοις δὲ τὸ μὲν Νειλῷος βοῦς τὸ δὲ κροκόδειλος εἶναι εἰκάζετο. ἐμοὶ μὲν οὖν οὐ μέλον τοῦ τῶν δοξῶν ἀνομοίου, εἰπεῖν δὲ τὸ καινήν τινα τὴν πάλην ἀμφότε-

tuae erigebantur quasi programmata rhedariae dexteritatis: situ manuum tantum non clare rhedariis praecepta dantes, quod ad metam accedentes non oporteret habenas laxare, sed retrahendo frenum equos flectere, ac frequentius vehementiusque calcar addere, ut proxime metam conversi instantem adversarium cogerent latiorem circuitum decurrere ac postremum adventare, etiamsi velocioribus equis veheretur atque artem aurigandi probe calleret.

12. Enimvero haec quoque addere visum est, quamquam in proposito non est omnia perscribere. gratiosum spectaculum et artificio omnium pene mirabilissimum basis erat lapidea, cui impositum animal, quod eatenus nonnisi dubitanter bovem repraesentare iudicavisses, quatenus brevissima cauda neque tam amplis palearibus instructum erat, cuiusmodi sunt Aegyptii boves; neque eius ungula erat bisulca. ipsum vero maxillis admotum tenebat aliud animal constrictu praefocans, quod toto corpore squamis muniebatur, ita asperis ut sine laesione vix contingi posset. putabatur autem alterum esse basiliscus; alterum vero, quod ad os illius admotum et constrictum tenebatur, pro aspide habebatur. nec deerant qui coniectarent alterum Niliacum bovem, alterum vero crocodilum esse. ego vero nihil curo sententiarum varietatem. dicam solum novum quod-

ρον τίθεσθαι, καὶ δρᾶν ἐν μέρει καὶ πάσχειν κακῶς ὑπ' ἀλλήλων ἑκάτερα, ὀλλύναι τε καὶ ὄλλυσθαι, καὶ κρατεῖν ἐν ταὐτῷ καὶ κρατεῖσθαι, καὶ νικᾶν ἅμφω καὶ ὑπ' ἀλλήλων καταπαλαίεσθαι. τὸ μὲν γάρ, ὃ καὶ φημιζόμενος βασιλίσκος, διῳδήκει ἅπαν ἐκ κεφαλῆς ἕως καὶ αὐτοῦ τοῦ τῶν ποδῶν πέλματος, καὶ κατιωμένον ὅλον τὸ σῶμα καὶ ὑπὲρ τὸ βατράχειον χρῶμα ἐχλώριζε, τοῦ φαρμάκου διαδραμόντος τὴν τοῦ ζῴου ξύμπασαν διαρτίαν καὶ εἰς θάνατον χρώσαντος· εἰς γόνυ τοίνυν συνίζανε, τὸ ὄμμα ἔσβεστο τῆς ζωτικῆς ἐκμαρανθείσης δυνάμεως. μᾶλλον μὲν οὖν ἐδίδου τοῖς ὁρῶσι δοξάζειν ὡς πάλαι ἂν ἀνατέτραπτο νεκρωθέν, εἰ μὴ τῶν ποδῶν αἱ βάσεις ὑπήρειδον καὶ πρὸς στάσιν ὑπανεῖχον ὄρθιον. ἦν δὲ καὶ θάτερον ὁμοίως, τὸ ταῖς γένυσιν ἐνισχόμενον, βραχὺ μὲν τὸ οὐραῖον ἀσπαῖρον, μέγα δὲ κεχηνὸς τῷ ἀπάγχεσθαι τῇ τῶν γομφίων ξυνοχῇ· καὶ ξυντείνεσθαι μὲν ἐῴκει καὶ ὁρμᾶν πειρᾶσθαι τοῦ τῶν ὀδόντων ἕρκους διεκθῦναι καὶ διεκπεσεῖν τοῦ χάσματος, οὐκ ἴσχυε δέ, ὅτι τὰ μετὰ τοὺς ὤμους εὐθὺς καὶ τῶν ποδῶν τοὺς ἐμπροσθίους, καὶ ὅσα τῷ οὐραίῳ συνήπτοντο μέρη τοῦ σώματος, ἡ τοῦ στόματος ξυνεῖχε διάστασις καὶ ταῖς γένυσιν ἐνεπείρετο. καὶ τὰ μὲν οὕτως ἦσαν ὑπ' ἀλλήλων νεκρούμενα, καὶ κοινὴ μὲν ἀμφοῖν ἡ ἅμιλλα, κοινὴ δὲ καὶ ἡ ἄμυνα, ἰσοπαλὴς δὲ ἡ νίκη, σύντροχος δὲ καὶ ὁ θάνατος. ἐμοὶ δ' ἔπεισιν εἰπεῖν ὡς τὸ

6. τέλματος O. 9. τὸ] καὶ τὸ? 20. διάτασις?

piam certandi genus in utroque spectatum esse, ita ut ambo malum inferrent et acciperent, utrumque adversarium conficeret et vicissim conficeretur, superaret et superaretur: ambo igitur vincebant et vincebantur. nam alterum quidem, pro basilisco habitum, a capite usque ad calcem pedum intumescebat, atque aeruginosum toto corpore ranae colore viridius erat, quia virus totos animalis artus occupaverat et mortis colorem induxerat; in genu itaque flexum erat, oculorum acies extincta, vitali fortitudine marcescente; imo vero aestimandum spectantibus relinquebat iam diu mortuum lapsurum fuisse, nisi plantae pedum sustinuissent ac per se suapte forma erectum servassent. alterum item animal maxillis constrictum, iam remissius caudam movens, hianti ore, quod molaribus premeretur, contendere videbatur ut a septo dentium et a morsu sese eriperet. nec poterat tamen, quia cum humeris et anterioribus pedibus corporis partes, quae caudae iunctae erant, in oris hiatu continebantur maxillisque confixae erant. atque ita sese illa mutua caede conficiebant, ac commune certamen erat et aequalis utrinque victoria, par exitium. mihi autem in mentem subit dicere, mutuas caedes et

φθείρεσθαι παρ' ἀλλήλων καὶ σὺν ἀλλήλοις ἀπάγεσθαι τὴν ἐς θάνατον τὰ τῶν κακῶν κηρεσιφόρα καὶ ἀνθρώποις ὀλέθρια μὴ μόνον ἐν εἰκόσιν εἴη διατυποῦσθαι, ἢ καὶ τοῖς ἀλκιμωτέροις τῶν ζῴων τοῦτο ἐπισυμβαίνειν, ἀλλὰ καὶ παρ' ἔθνεσι συχνάκις γίνεσθαι, ὁποῖα τοῖς Ῥωμαίοις ἡμῖν ἐπεστράτευσε, φονῶντα κατ' ἀλλήλων, ὀλλύμενα δυνάμει Χριστοῦ τοῦ διασκορπίζοντος ἔθνη τὰ τοὺς πολέμους θέλοντα καὶ μὴ χαίροντος αἵμασιν, ὃς καὶ δίκαιον ἐπ' ἀσπίδα καὶ βασιλίσκον δείκνυσιν ἐπιβαίνοντα καὶ λέοντα καταπατοῦντα καὶ δράκοντα.

letifera perniciosaque ad exitium vergentia mala non solum in imaginibus exprimi posse, neque apud robustissima solum animalia contingere, sed etiam apud gentes plerumque, quae nobis Romanis bellum intulerunt: illae scilicet mutuam adversus se ipsas caedem sectantes, periere virtute Christi dissipantis gentes quae bellum volunt, neque sanguine gaudentis; qui etiam iustum super aspidem et basiliscum ambulantem exhibet, et conculcantem leonem et draconem.

ANNOTATIONES.

VARIAE LECTIONES
ET ANNOTATIONES
IN NICETAE CHONIATAE HISTORIAM
PER HIERONYMUM WOLFIUM.

Pag. 3, 3. *ed. Bonn.* *Νικήτου Ἀκομινάτου Χωνιάτου*] Nicetas Latinis Victor est sive Vincentius, Acominatus gentilitium nomen, Choniates patrium, a Chonis Phrygiae urbe, ex qua oriundum se fuisse crebro gloriatur. caetera sunt dignitatum vocabula. Logothetam ipse Cancellarium interpretatur. *ἔφορος καὶ κριτὴς τοῦ βήλου* quid sit, certo affirmare non possum. videtur tamen *βῆλον* Latinum esse; idque ex aliquot locis Constantini de Administratione Romani Imperii constare potest. *ἔνδον*, inquit, *τοῦ βήλου τοῦ κρεμαμένου εἰς τὴν καμάραν* etc. et *εἰσέρχονται ἐν τῷ βήλῳ τῷ κρεμαμένῳ εἰς τὸ ἅγιον φρέαρ*. item *διὰ τῶν βήλων ὑπὸ τῶν σελεντιαρίων συρομένων*. fortassis secretiorem et selectum iudicem per Velum intelligit, ob ritum aliquem mihi incognitum. magnae fuisse dignitatis munus ex huius historiae lectione apparet; cuiusmodi apud nos, etsi longe minus, est Camerae imperii assessorem esse. *ὁ γενικὸς ἐπὶ τῶν κρίσεων καὶ ἔφορος* fortassis praetor fuit. P. 417 V. 34

Ad prooemium huius auctoris, ubi suum perspicuitatis studium iactat (p. 5, 20), homo quidam, ut apparet, non infacetus, fortassis Alexander Chartophylax, diaconus Cpolitanus, qui codicem manu sua scriptum Iohanni Dernschwan vendidit, annotavit:

οὐκ οἶδα τί φῂς ἐνθάδε, Χωνειάτα,
σοφὸν τὸ σαφὲς συγγράφων εἶναι λέγεις,
εἶτα γρυφώδη καὶ βαραθρώδη γράφεις;
quid istud est? quid Choniata vis tibi?
orationis lucidum probas decus,
tenebricosus instar ipse Tartari?

nec mehercule sine causa. nam ex affectatione nescio cuius insolentis elegantiae et poeticae dictionis aemulatione in salebras saepe incidit; et duris, ne ineptis dicam, utitur metaphoris, in Prooemio praesertim, ubi cum primis disertus videri cupit. quodsi totam historiam simili oratione involvisset, in Latomias ire quam molestiis conversionis conflictari maluissem. sed quia tolerabiliter loqui incipit quum ad rem ipsam ventum est, hanc quoque operam studiosis historiarum dare volui, ut Zonarae opus hac appendice plenius redderetur, ea tamen libertate usurpata ut sententias auctoris appendam, verba annumerare non necesse habeam. ut autem in illo feci, ita hic etiam obscuriora loca et varias
P. 418 lectiones annotabo. usus enim hic quoque sum duobus codicibus, quorum alterum D. Antonii Fuggeri, alterum herilis bibliotheca suppeditavit. accessit tandem, ut in Zonara quoque, praeter expectationem meam, tertius Augustanae rei publicae codex, vetustus admodum, principio et fine mutilus, nec reliquis partibus ubique incolumis. qui si integer fuisset, eum solum et in exscribendo et in convertendo secutus essem: videtur enim ex germano auctoris archetypo bona fide descriptus, et eam simplicitatem prae se fert quae in hoc prooemio promittitur, ne barbaris quidem vocabulis evitatis; quae causa aliis fuisse videtur ut paraphrasin (utinam minus affectatam) huius operis scribendam susceperint et de suo non pauca ornandae orationis ergo addiderint. in Byzantino codice non modo complures versus, sed pluribus in locis etiam integra folia, eaque sub finem operis amplius XV, defuerunt; quae ego ex herilis bibliothecae codice describenda curavi et converti, tutius esse ratus supervacanea addere quam minus necessaria praetermittere, praesertim cum vetustus quoque codex easdem res, licet diverso genere orationis, contineret.

P. 4, 4. *πολυπειρίας ὑποτιθέασιν ὁπόσοι*] ambiguum est, utrum historiae multiplicem experientiam eorum qui magnis ingeniis praediti atque ab ipsa natura ad decus et honestatem conformati sunt proponant, an vero homines ingeniosi duntaxat et virtutis amantes varia exempla rei bene gerendae ex historiis petere soleant. incertum enim est, utrum post *τὸ ὑποτιθέασιν* subintelligendum sit *ἐκείνων* an *ἐκείνοις*. fortasse scriptori Thucydidis salebrae placuerunt, qui oracula potius quam historiam scribendam suscepit.

P. 4, 14. *τοῦ μὲν ἐς ᾅδου βέβηκεν ἡ ψυχή*] imitatio Homerica magis; *ψυχὴ δ' ἀϊδόσδε βέβηκε*, quam Christiana. quare ego, evitatis quantum licuit istiusmodi ineptiis, reposui ea quae nec a religione nec ab usitata loquendi ratione abhorrere videbantur. consilium meum doctis et candidis

haud dubie probabitur. si qui autem semidocti et scrupulosi homunciones vel negligentiam vel licentiam vel inscitiam meam accusabant, *τούτοις ἐγὼ χαίρειν καὶ ἐρρῶσθαι φράσω.* neque enim tanta res est, et a natura et studiis meis alienum ut quenquam cupiam *κλαίειν καὶ οἰμώζειν.* illud vellem, si quid optando proficeretur, in plerisque lectoribus aut minus esse arrogantiae aut plus eruditionis et industriae.

P. 5, 9. *ἀνεχρίμψατο τὴν ψυχήν*] *excreavit animam;* ut Zonaras saepe *ἐξηρεύξατο eructavit*, sed de impiis fere tantum.

P. 5, 11. *τρικόρωνοι*] qui trium cornicum aetatem vixerunt, i. e. 300 annos. notum est quid Virgilius ex Hesiodi auctoritate de cornicis aevo fabuletur, his versibus:

ter binos deciesque novem superexit in annos,
iusta senescentum quos implet vita virorum:
hos novies superat vivendo garrula cornix.

P. 5, 13. *τὰς τῶν πράξεων ῥύσσας ἀνασκάλλοντες*] *rerum gestarum rugas refodientes.* quis istas elegantias non despuat?

P. 5, 20. *ἐπεὶ δὲ ὡς καὶ ἄλλοι ξυμβαλεῖν ἔχουσι*] prolixa et intricatissima periodus. e quibus salebris me vix quidem, sed expedivi tamen, ut arbitror: multum certe laboravi.

P. 7, 11. *ἄρξαντος πρώτως Ἀλεξίου*] respicit ad sua potissimum tempora, ut arbitror: nam longe ante Alexium Isaacius Comnenus post Michaelem Stratioticum imperavit; V. 343 cui Constantinus Ducas successit, ut refert Zonaras.

P. 10, 16. *ἡ βασιλὶς δὲ Εἰρήνη καὶ μήτηρ Ἰωάννου*] P. 419 Choniates nimium solicitus, ut apparet, ne quis error ex propriis nominibus existat, epitheta supervacanea adiicit. Irenen esse imperatricem et Iohannis matrem satis intelleximus, neque periculum est ne nunc alia Irene intelligatur. quare has et similes *περισσολογίας* omittere non dubitavi. idem etiam feci in supervacanea propriorum nominum repetitione aut pro relativis pronominibus collocatione molesta et odiosa.

P. 10, 24. *καὶ βαλοῦσα ἑαυτὴν τῷ σώματι*] pro *ἐπικειμένη τῷ σώματι τοῦ ἀνδρός.*

P. 11, 1. *ὡς κρήνη μελάνυδρος*] *ut fons nigrae aquae.* aptior fuisset Choniates scribendo poemati quam historiae, propter Homeri diligentem imitationem. haec epitheta et *εἰκόνες* quam historiam deceant nescio. *εἰκόνας* omittere vix ausim, nisi nimium frequentes et licentes fuerint. epitheta vero non ubique mihi interpretanda esse duxi. cuius rei lectorem semel admonitum etiam deinceps meminisse velim, ne quod iudicio factum est, inscitiae aut negligentiae tribuat.

P. 12, 1. *αἱ πύλαι τοίννν*] videntur hic quaedam deesse. et Zonaras in Alexii Comneni vita scribit Barangos nonnisi iureiurando firmata fide de Alexii obitu ingressum palatii concessisse. quae de ratione aperiendae portae scribit, me non satis intelligere fateor. illud etiam obiter notandum, ut Latini fores, sic Graecos *πύλας* plurali numero fere usurpare.

P. 12, 6. *διαρπάζειν τὸ προστυχόν*] eam consuetudinem Romae esse ferunt pontifice mortuo.

P. 12, 13. *τοῖς τέσσαρσι*] sc. *μησί*.

P. 13, 11. *Σεβαστοκράτορος*] hunc Augustimperatorem fortassis dicere liceret. malui tamen retinere Graecum, ut et in aliis. *πρωτοβεστιάριος* a thesauris fuisse videtur: nam vetustus codex Augustanae bibliothecae, ubi reliqui habent *βασιλικὸν ταμιεῖον ἢ χρυσῶνα*, ponit *βεστιάριον*. *παραχοιμώμενον* vel cubicularium vel accubitorem vertere possis. si paracoemomenon dicas, nescio quomodo aures *τὸ κακόφωνον* aversantur.

